M. Boas, Planudes' Metaphrasis der sogenannten *Disticha Catonis*, ByzZ 31, 1931, 241–257

J. F. Boissonade, Publii Ovidii Nasonis *Metamorphoseon libri XV* Graece versi a Maximo Planude, Parisiis 1822

A. Demetrakopoulos, Thomas von Aquino. *Summa Theologica* translata per Demetrium Cydonem, Athenis 1979

P. E. Easterling – E. J. Kenney, Ovidiana Graeca. Fragments of a Byzantine Version of Ovid's Amatory Works, PCPhS suppl. 1, 21–37

E. A. Fisher, The Greek Version of Ovid's Metamorphoses, Cambridge Mass. 1971 (Diss. dactyl.)

M. Galdi, La traduzione planudea dei carmi di Boezio, Saggi Boeziani, Pisa 1938, 264–277

M. Gigante, Ciceronis *Somnium Scipionis* in Graecum a Maximo Planude translatum, PP 59–60, 1958, 173–194

H. I. Heller, De Graeco metaphraste Commentariorum Caesaris, Philologus 12, 1857, 107–149

H. Hunger, Prochoros Kydones. Übersetzung von acht Briefen des Hl. Augustinus, Wien 1984

J. Irmscher – P. Nagel, Ps. Cypriani epistula *de duodecim abusivis saeculi* translata per Maximum Planudem (Studia Byz. Folge II), Berlin 1971, 13–36

E. J. Kenney, A Byzantine Version of Ovid, Hermes 91, 1963, 213–227

J. Lamoureux, A propos de fragments d'Ovide traduits en Grec, REG 76, 1963, 206–209

L. L. Luisides, *Αἱ Ἑλληνικαὶ μεταφράσεις τῶν παραινετικῶν Γνωμῶν Κάτωνος τοῦ Ῥωμαίου*, Platon 8, 1956, 206–221

–, Versio Planudea Dictorum Catonis, Athenis 1957

D. Z. Nikitas, Eine byzantinische Übersetzung von Boethius' *de hypotheticis syllogismis*, Göttingen 1982

A. Palmer, P. Ovidi Nasonis *Heroides* with the Greek Translation of Planudes, Oxford 1898 (denuo impr. Hildesheim 1967)

M. Papathomopoulos, *Πλανούδη μετάφρασις τῶν Ὀβιδίου Ἐπιστολῶν*, Ioannina 1976

A. Pertusi, Gli studi latini di Manuele Caleca e la traduzione del *de trinitate* di Boezio, Miscellanea G. Galbiati, 3, Milano 1951, 283–312

–, Di alcune traduzioni greche di inni attribuiti a S. Tommaso e a S. Ambrogio, Bollettino della Badia greca di Grottaferrata 12, 1958, 141–158

M. Rackl, Die griechischen Augustinusübersetzungen, Miscellanea F. Ehrle, 1, Roma 1924, 1–38

H. Schenkl, Eine byzantinische Übersetzung der *Carmina* Ovid's, *Στρωματεῖς*, (Graz) 1909, 105–118

W. O. Schmitt, Maximos Planudes, der lateinische Pseudo-Donatus (Ianua) und seine Übersetzung ins Griechische, Berlin 1966

C. F. Weber, *Carmina* Anicii Manlii Torquati Severini Boethii Graece conversa per Maximum Planudem, Casellis 1835

G. N. Yannakis, Maxime Planude, traduction du *de duodecim abusivis saeculi* du Pseudo-Augustin, Dodone 3, 1974, 217–258

D. Editiones dialogi Ciceronis *de senectute* necnon fragmentorum poetarum in eodem dialogo laudatorum quas in commentario adhibui

a) Ciceronis

A. G. Gernhard, M. Tullii Ciceronis Cato Maior, Lipsiae 1819
C. Halm, M. Tulli Ciceronis Cato Maior de senectute, Turici 1861[2]
N. Madvig, M. T. Ciceronis Cato Maior, Hauniae 1835
P. Venini, M. Tulli Ciceronis Cato Maior de senectute, Aug. Taurinorum 1959
P. Wuilleumier, Cicéron, Caton l'ancien, Paris 1961[3]

b) Caecilii

T. Guardì, Cecilio Stazio. I frammenti, Palermo 1974
O. Ribbeck, Scaenicae Romanorum poesis fragmenta: 2, Comicorum Romanorum fragmenta, Lipsiae 1898[3]

c) Ennii

H. Columna, Q. Ennii fragmenta quae supersunt (accurante F. Hesselio), Amstelaedami 1707
O. Skutsch, The Annals of Q. Ennius, Oxford 1985
I. Vahlen, Ennianae poesis reliquiae, Lipsiae 1903[2]

d) Naevii

A. Klotz, Scaenicorum Romanorum fragmenta: 1, Tragicorum fragmenta, Monachii 1953

CONSPECTVS SIGLORVM ET NOTARVM

a) Codices recensionis α

B	Bernensis Gr. 287, saec. XV
Bc	Bucurestinus Gr. 452 (olim 602), saec. XVI
Br	Bruxellensis 11291–93, saec. XV$^{ex.}$
C	Catinensis arm. 1 ms. V 19, saec. XV
F	Laurentianus plut. LXXX 27, saec. XV
G	Laurentianus plut. LVIII 33, saec. XV
H	Laurentianus conv. soppr. 164, saec. XV
L	Lugdunensis Gr. 1486, saec. XV
Lv	Leidensis Vulc. Gr. 2, saec. XV$^{ex.}$
M	Monacensis 289, saec. XV
Ma	Matritensis 4790 (olim 34), saec. XV
O	Oxoniensis Bodl. 165, saec. XV
P	Parisinus Gr. 2071, saec. XV
Q	Parisinus suppl. Gr. 66, saec. XV/XVI
R	Parisinus suppl. Gr. 526, saec. XVI
U	Rheno-Traiectinus 4, saec. XVI$^{in.}$
V	Vaticanus Gr. 1463, saec. XV

b) Praecipuae editiones recensionis α[1]):

a	Aldina a. 1517 Venetiis in lucem prolata
b	Florentina a. 1517 in officina Philippi Iuntae impressa
c	Basileensis a. 1520 in vulgus emissa
d	Parisiensis a. 1528 apud Simonem Colinaeum impressa
e	Lugdunensis a. 1536 Lugduni Batavorum apud Gryphium impressa
f	Parisiensis a. 1546 apud viduam Guil. Morelli typographi regii impressa
g	Marciana a. 1566 Venetiis in lucem prolata
h	Ingolstadiensis a. 1596 ex officina typographica Davidis Sertorii impressa

Hess^1 addenda et corrigenda quae Philippus C. Hess in editionis suae fine adposuit

] in apparatu critico hoc signo distinxi lectiones quas profert consensus sive omnium codicum recensionis α sive omnium praeter nominatim laudatos; in commentario autem eodem signo usus sum quotienscumque verba Graeca ab utraque recensione tradita sunt

Edd. in apparatu critico i. q. consensus sive omnium editionum recensionis α sive omnium praeter nominatim laudatas; in commentario autem i. q. editores

Ω consensus omnium codicum et editionum recensionis α

---

1) Aliae obscuriores apud G. Salanitro^6 324–325 commemorantur.

c) Codex recensionis β

T Turicensis C 136, saec. XV

add.	addidit, addiderunt	nonn.	nonnulli
ad l.	ad locum	om.	omisit, omiserunt
ap. Cic.	apud Ciceronem	optt.	optimi
app. cr.	apparatu critico	o. v.	ordo verborum
cett.	ceteri (codices)	pr.	prior
cf.	confer	praes.	praesertim
cod., codd.	codex, codices	recc.	recentiores
det., dett.	deterior, deteriores	rell.	reliqui
ex. gr.	exempli gratia	scil.	scilicet
ff.	folia, foliis	sim.	similia
fr.	fragmentum	sq., sqq.	sequens, sequentes
h. l.	hoc loco	s. v.	sub voce
i. e.	id est	vd.	vide
i. q.	idem quod	v. d., vv. dd.	vir doctus, viri docti
in mg.	in margine	v. lect.	varia lectio
lect., lectt.	lectio, lectiones	ut v.	ut videtur

Dimitrakos D. Dimitrakos, *Μέγα Λεξικὸν τῆς Ἑλληνικῆς γλώσσης*, 1–9, *Ἀθῆναι* 1953 (denuo impr.)

Du Cange Ch. Du Fresne Sieur Du Cange, Glossarium ad scriptores mediae et infimae Graecitatis, Lugduni 1688 (denuo impr. Graz 1958)

Kriaras E. Kriaras, *Λεξικό τῆς μεσαιωνικῆς Ἑλληνικῆς δημώδους γραμματείας* (1100–1669), *Θεσσαλονίκη* 1968 (et anni subsequentes)

Leopold E. F. Leopold, Lexicon Graeco-Latinum Lipsiae 1866[2]

LSJ H. G. Liddell–R. Scott–H. Stuart Jones, A Greek-English Lexicon, Oxford 1940[9] (Edited with a Supplement by E. A. Barber, Oxford 1968)

Sophocles E. A. Sophocles, Greek Lexicon of the Roman and Byzantine Periods, 1–2, Boston–Cambridge Mass. 1870 (denuo impr. New York 1957)

Th. G. l. H. Stephanus, Thesaurus Graecae linguae, Parisiis 1543[3] (denuo impr. Graz 1954)

Th. l. L. Thesaurus linguae Latinae, Lipsiae 1900 (et anni subsequentes)

ΜΑΡΚΟΥ ΤΥΛΛΙΟΥ ΚΙΚΕΡΩΝΟΣ ΡΩΜΑΙΟΥ ΚΑΤΩΝ Η ΠΕΡΙ ΓΗΡΩΣ ΕΡΜΗΝΕΙΑ ΘΕΟΔΩΡΟΥ

1
1 *Ὦ Τίτε, εἴ κεν ἐγὼ πρόφρων τοι ἴκωμαι ἀρήξων,*
πάγχυ τε κούφην ἀργαλέην μελεδῶνά γε θῶμαι,
ἥ σ᾽ αὔτως ἕψουσ᾽ αἰνῶς μάλα δὴ κατατήκει,
ἠδὲ παγεῖσ᾽ ἐν στήθεσι θυμόν σ᾽ ἀμφικραδαίνει,
τῇ νῦν τείρεαι, ἆθλον ἔπειτ᾽ ἂν ἐμοὶ τί ποτ᾽ εἴη; 5

ἔξεστι γάρ τοι κἀμοὶ φάναι ταὐτὰ ἔπη πρὸς σέ, ὦ Ἀττικέ, ἅπερ ʻἐκεῖνος ὁ ἀνὴρʼ πρὸς Φλαμίνιον ἐπὶ πράγματι μὲν οὐ πάνυ μεγάλῳ, ἔμπλεώς γε μὴν πίστεως ὢν εἴρηκεν. καίτοι εὖ οἶδα μηδὲν κατὰ Φλαμίνιον σέ γε, ὦ Ἀττικέ, μεριμνᾶν νύκτας τε καὶ ἤματα πάντα. ἔγνων γάρ σου τὸ τῆς ψυχῆς ἐπιεικές τε καὶ κόσμιον καί σε μὴ μόνον ἐπωνυμίαν Ἀθήνηθεν ἀπενέγκα- 10 *σθαι, ἀλλὰ καὶ φρόνησιν καὶ παιδείαν μανθάνω. ὑποπτεύω μέντοι καὶ σὲ τοῖς αὐτοῖς, οἷς ἔσθ᾽ ὅτε καὶ ἐμαυτόν, χαλεπώτερον ἐνοχλεῖσθαι· ὧν ἄρ᾽ ἡ παραμυθία καὶ μείζων δή τίς ἐστι καὶ εἰς ἕτερόν γε ὑπερκείσθω και-* 2 *ρόν. νῦν δέ μοι πρὸς σὲ ἄττα συγγράψαι ἔδοξε γήρως πέρι. τοῦ γάρ τοι φορτίου τοῦδε, ὅπερ ἐμοὶ κοινὸν ὑπάρχει πρὸς σέ, ἤτοι ἐπιτιθεμένου ἤδη* 15 *τοῦ γήρως ἢ καὶ ἐπερχομένου κουφίσαι δεῖν καὶ σὲ καὶ ἐμαυτὸν ἀξιῶ καίτοι εὖ εἰδὼς σέ γε φέροντά τε αὐτὸ καὶ οἴσοντα, ὥσπερ ἀμέλει καὶ τἄλλα πάντα, μετρίως τε καὶ σοφῶς. ἀλλά μοι ἐπειδὴ βουλομένῳ ἦν περὶ γήρως τι γράψαι, σὺ προσέβαλλες ἄξιος δώρου τοιοῦδε, ᾧ γ᾽ ἂν εἰς κοινὸν χρῷτο ἡμῶν ἑκάτερος. ἔμοιγε οὖν ἡ τοῦ τοιούτου σύνταξις [τοῦδε] λόγου* 20 *οὕτω που καθ᾽ ἡδονὴν ἐγεγόνει, ὥστε μὴ μόνον τὰ χαλεπὰ τοῦ γήρως*

Inscriptio *M. T. K. ʻP. κ. τ. ἑ.* **CQRU** (*ʻΡωμαίου* om. **U**, *ἢ* om. **R**) Edd. (praeter **d**) *M. T. K. ʻP. διάλογος περὶ γήρως. Κάτων ἢ περὶ γήρως. Ἑρμηνεία Θεοδώρου* **BBrH LLvP** *M. T. K. ʻP. διάλογος περὶ γήρως ἐπιγραφεὶς Κάτων ὁ μείζων ἢ περὶ γήρως ἑρμηνείᾳ Θεοδώρου τοῦ Γαζῆ εἰς τὴν Ἑλληνικὴν γλῶτταν μετενεχθεὶς* **MV** *M. T. K. ʻP. διάλογος περὶ γήρως. Ἑρμηνεία Θεοδώρου* **Bc** *M. Τουλλίου K. Κάτων ἢ περὶ γήρως πρὸς τὸν Ἀττικὸν μετενεχθεὶς ὑπὸ Θεοδώρου* **F** *Κάτων ὁ μείζων τοῦ Κικέρωνος ἤτοι περὶ τοῦ γήρως* **G** *M. T. K. ʻP. Κάτων ὁ μείζων ἢ περὶ γήρως* **d** nullam inscriptionem exhibent **MaO** || 1 *τοι*] *τι* **BcGMaO** (om. **U**) || 2 *πάγχυ τε*] glossam *παντελῶς* in mg. add. **LLvP** || 3 *αἰνῶς*] *κοινῶς* in mg. add. **LvP** || 4 *ἀμφικαρδάνει* **U** || 6 *ταῦτα* **BcCH** | *πρὸς σέ* om. **R** || 7 *γράμματι* **V** || 12 *οἷς* **QRU** om. cett.

ΜΑΡΚΟΥ ΤΥΛΛΙΟΥ ΚΙΚΕΡΩΝΟΣ ΡΩΜΑΙΟΥ
ΚΑΤΩΝ Η ΠΕΡΙ ΓΗΡΩΣ
ΟΝ ΗΡΜΗΝΕΥΣΕ ΘΕΟΔΩΡΟΣ
ΘΕΣΣΑΛΟΝΙΚΕΥΣ
ΤΗΣ ΤΩΝ ΓΑΖΑΙΩΝ ΟΙΚΙΑΣ

1
1

Ὦ Τίτε, εἴ κεν ἐγὼ πρόφρων τοι ἵκωμαι ἀρήξων,
πάγχυ τε κούφην ἀργαλέην μελεδῶνά γε θῶμαι,
ἥ σ' αὔτως ἔψουσ' αἰνῶς μάλα δὴ κατατήκει,
ἠδὲ παγεῖσ' ἐν στήθεσι θυμόν σ' ἀμφικραδαίνει,
5 *τῇ νῦν τείρεαι, ἆθλον ἔπειτ' ἂν ἐμοὶ τί ποτ' εἴη;*

ἔξεστι γάρ μοι ταὐτὰ ἔπη φάναι πρὸς σέ, ὦ Ἀττικέ, ἅπερ Ἔννιος πρὸς Φλαμίνιον λέγει, ἐπὶ πράγματι μὲν κεῖνος ὁ ἀνὴρ οὐ πάνυ μεγάλῳ, ἔμπλεως δέ τοι πίστεως ὤν. καίτοι εὖ οἶδα μηδὲν κατὰ Φλαμίνιον σέ γε ἀγωνιᾶν, ὦ Ἀττικέ, νύκτας τε καὶ ἤματα πάντα. ἔγνων γάρ σου τὴν τῆς 10 *ψυχῆς κοσμιότητα τε καὶ ἐπιείκειαν, σέ τε μὴ μόνον ἐπωνυμίαν Ἀθήνηθεν ἀπενέγκασθαι, ἀλλὰ καὶ φρόνησιν καὶ παιδείαν μανθάνω. ὑποπτεύω μέντοι καὶ σὲ τοῖς αὐτοῖς, ⟨οἷς⟩ ἔσθ' ὅτε καὶ ἐμαυτόν, διοχλεῖσθαι βαρύτερον· ὧν ἄρ' ἡ παραμυθία καὶ μείζων ἐστὶ καὶ εἰς ἕτερον ὑπερκείσθω καιρόν. νῦν δέ μοι ἔδοξε περὶ γήρως πρὸς σὲ ἄττα συγγράψαι. τοῦ γάρ τοι* **2** 15 *φορτίου τοῦδε, ὅπερ ἐμοὶ κοινὸν ὑπάρχει πρὸς σέ, ἢ ὡς ἐπιθεμένου ἤδη τοῦ γήρως ἢ ὡς ἀληθῶς ἐπιόντος καὶ σὲ καὶ ἐμαυτὸν κουφίσαι ἐθέλω καίτοι σέ γε αὐτὸ μετρίως τε καὶ σοφῶς, ὥσπερ ἅπαντα, φέροντά τε καὶ οἴσοντα εὖ εἰδώς. ἀλλ' ἐμοί γ' ἐπειδὴ βουλομένῳ ἦν περὶ γήρως τι γράψαι, σὺ προσέβαλλες ἄξιος δώρου τοιούτου, ᾧ γ' ἂν εἰς κοινὸν ἡμῶν χρῷτο* 20 *ἑκάτερος. ἐμοὶ οὖν ἡ τοῦδε λόγου σύνταξις [τοῦδε] οὕτω που καθ' ἡδονὴν ἐγεγόνει, ὥστε οὐ μόνον τὰ τοῦ γήρως χαλεπὰ ξύμπαντα ἀπερρῦφθαι,*

(in mg. add. **C**) || 13 *δή*] *δέ* **BLLvP** || 14 *ἄττα* iteravit (sed priorem lect. expunxit) **Br** || 15 *κοινὸν ἐμοὶ* **F** || 16 *ἐπερχόμενον* **U** || 17 *αὐτὸ* om. **R** | *ἀμέλλει* **LvP** || 18 *τ' ἄλλα* **M** *τἄλλα* **d** || 19 *γράψαι* **BRV** Hess *συγγράψαι* cett., Edd. | *προσέβαλες* **CMaOU** Edd. (praeter Hess) || 20 *τοῦδε* delevi

9 *ὦ* iteravit **T** || 10 *κοσμότητα* **T** | *μὴ* α *μοι* **T** || 12 *οἷς* α || 13 *παραμυθύα* **T** | *ὑπερκρείσθω* **T** || 20 *τοῦδε*[2] delevi

ξύμπαντα ἀπερρῦφθαι, ἀλλὰ καὶ μαλθακὸν τὸ γῆρας προσαπειργάσθαι καὶ ἡδύ. οὐ μήποτ' οὖν ἱκανῶς πρὸς ἀξίαν ἐγκωμιάσαι φιλοσοφίαν γένηται, ᾗ γ' ὁ πειθόμενος οἷός τε διάγειν ἔξω χαλεπῶν τὸν τοῦ βίου σύμπαντα 3 *χρόνον. ἀλλὰ τῶν μὲν ἄλλων πέρι πολλά τε εἰρήκαμεν καὶ εἰσαῦθις ἐροῦμεν πολλάκις· τὸ νῦν δ' εἶναι βιβλίον τουτό σοι περὶ γήρως πεπόμφαμεν.* 5 *πάντα δὲ τὸν λόγον οὐ Τιθωνῷ, καθάπερ Ἀρίστων ὁ Χῖος, περιτεθεικότες ἐσμέν, τοῦ μή τι σμικρὸν ὡς ἐν μύθοις ἀξίωμα εἶναι, ἀλλὰ Μάρκῳ Κάτωνι γέροντι, ἵνα μείζονος ἔχοιτο ἀξιώματος ὁ λόγος. πρὸς τοῦτον δὲ δὴ Λαίλιον καὶ Σκιπίωνα θαυμάζοντας πεποιήκαμεν, ὅτι ῥαδίως αὐτὸς φέρει τὸ γῆρας, κἀκείνοις αὖ πάλιν τόνδε ἀποκρινόμενον. ὁ δέ γε εἴ τι* 10 *πολυμαθέστερον δοκεῖ διαλέγεσθαι ἢ ὡς ἐν τοῖς ἰδίοις αὐτὸς εἴωθε συγγράμμασι, τοῖς Ἑλληνικοῖς τουτό γε ἀπόνεμε λόγοις, περὶ οὓς δῆλον ὡς ὅδ' ἐν γήρᾳ τυγχάνει λίαν ἐσπουδακώς. ἀλλὰ τί δεῖ πλειόνων; ἤδη γὰρ ὁ λόγος αὐτοῦ Κάτωνος πᾶσαν τὴν ἡμετέραν περὶ γήρως δηλώσει διάνοιαν.*

2 / 4 *ΣΚΙΠΙΩΝ. Πολλάκις, ὦ Μάρκε Κάτων, θαυμάζειν εἴωθα μετὰ Γαΐου* 15 *Λαιλίου τουτουὶ ποτὲ μὲν τὴν σὴν περὶ τἄλλα ἐπιφανῆ τε καὶ τελείαν σοφίαν, ποτὲ δὲ καὶ μάλιστα τὸ μηδεπώποτέ σοι ἐπαχθὲς ὂν τὸ γῆρας αἰσθέσθαι· ὅπερ οὐκ ὀλίγοις τῶν γερόντων οὕτως ἐστὶ μισητόν, ὥστε σφᾶς ἀνέχειν φορτίον φάσκειν Αἴτνης βαρύτερον. ΚΑΤΩΝ. πρᾶγμα ἥκιστα χαλεπὸν θαυμάζειν ἐοίκατε, ὦ Σκιπίων καὶ Λαίλιε. οἷς μὲν γὰρ ἐπικουρία παρ' αὐ-* 20 *τοῖς οὐδεμία πρὸς τὸ ζῆν εὖ τε καὶ μακαρίως, τούτοις ἐπαχθής ἐστιν ἡλικία πᾶσα· ὅσοι δὲ παρὰ σφῶν πάντα αἰτοῦσι τἀγαθά, τούτοις κακὸν οὐδὲν οἷόν τε δοκεῖν, ὧν ἂν φύσεως ἀνάγκη ἐπάγῃ. οἷον δὴ καὶ τὸ γῆρας τυγχάνει ὅτι μάλιστα ὄν, ὃ κτήσασθαι μὲν εὔχονται πάντες ἄνθρωποι, κτησάμενοι δὲ τοῦτο πάλιν αὐτὸ αἰτιῶνται· εἰς τοσοῦτον δὴ ἥκουσιν* 25 *ἀστασίας καὶ εὐηθείας καὶ κακοηθείας. θᾶττον αὐτό φασιν ἢ ὡς ἂν ᾠήθησαν ὑποδύεσθαι. πρῶτον μὲν οὖν τίς αὐτοὺς οἴεσθαι βιάζεται τὰ ψευδῆ; τί γάρ; θᾶσσον νεανίσκῳ τὸ γῆρας ἢ παιδὶ ἡ νεανικὴ ὑποδύεται ἡλικία; ἔπειτα δὲ πῶς ἧσσον αὐτοῖς ἐπαχθὲς ἔσται τὸ γῆρας ἢ εἰ ἔτος διατελοῖεν ὀκτακοσιοστὸν ἢ ὀγδοηκοστόν; τὸ γὰρ τοῦ βίου παρεληλυθός,* 30 *κἂν μακρόν, ἐξερρυηκὸς μέντοι ἅπαξ οὐδενὶ ἂν ἔτι παραμυθίῳ γέροντα*

1 *ἀπερρίφθαι* **MaOR** (glossam *κεκαθάρθαι* in mg. add. **P**) | *μαλακὸν* **C** Edd. (praeter Hess) | *τὸ γῆρας* om. **MaO** | *προσαπειργάσθαι*] *γενέσθαι* in mg. add. **B** || 2 *οὐ μήποτ'*] glossam *οὐδαμῶς* in mg. add. **P** || 3 *σύμπαντα*] *ἅπαντα* in mg. add. **M** || 5 *βύβλιον* **O** || 6 *πᾶν* **U** | *οὐχὶ* **MV** | *κατάπερ* **ac** | *ἀρίστονος* **U** || 8 *ἔχειτο* **Q** || 9 *δὴ* om. **R** Goez | *δαίλον* **e** | *σκηπίωνα* **BLLvP** *σκοπίωνα* **O** || 10 *φέροι* **BrCFG MaOQU** || 11 *εἴωθεν* Edd. (praeter Hess) || 13 *οὐδ' ἐν* (in mg. *ὅ γ' ἐν*) **C** *ὅ γ' ἐν* **R** *ὅ γε ἐν* Edd. (praeter Hess) || 15 *σκιπίων* (spatio septem litterarum relicto) om. **GO**, in mg. add. **B**, post *θαυμάζειν* add. **L** | *πολλάκι* **H** || 16 *τελείαν* **CGP** Hess *τελέαν* cett., Edd. || 17 *τὸ*[1] om. **M** || 19 *φορτίου* **P** | *κάτων* (spatio quinque litterarum

ἀλλὰ καὶ μαλθακὸν καὶ ἡδὺ τὸ γῆρας προσαπειργάσθαι. οὐ μήποτ᾽ οὖν
ἱκανῶς πρὸς ἀξίαν ἐγκωμιάσαι φιλοσοφίαν γένηται, ᾗ γ᾽ ὁ πειθόμενος
οἷός τε διάγειν ἔξω χαλεποῦ τὸν τοῦ βίου ξύμπαντα χρόνον. ἀλλὰ τῶν μὲν 3
ἄλλων πέρι πολλά τε εἰρήκαμεν καὶ εἰσαῦθις πολλάκις ἐροῦμεν· τὸ νῦν
5 *δ᾽ εἶναι βιβλίον σοι περὶ γήρως πεπόμφαμεν. πάντα δὲ τὸν λόγον οὐ*
Τιθωνῷ, καθάπερ Ἀρίστων ὁ Χῖος, περιτεθείκαμεν, τοῦ μὴ σμικρὸν ὡς
ἐν μύθοις ἀξίωμα εἶναι, ἀλλὰ Μάρκῳ Κάτωνι γέροντι, ἵν᾽ ὁ λόγος μείζο-
νος ἔχοιτο ἀξιώματος· πρὸς ὃν δὴ Λαίλιον καὶ Σκιπίωνα θαυμάζοντας
πεποιήκαμεν, ὅτι αὐτὸς ῥαδίως οὕτω φέρει τὸ γῆρας, κἀκείνοις αὐτὸν ἀπο-
10 *κρινόμενον. ὃς εἴ τι πολυμαθέστερον διαλέγεσθαι δόξειεν ἢ ὡς ἐν τοῖς*
ἰδίοις αὐτὸς συγγράμμασιν εἴωθε, τοῖς Ἑλληνικοῖς λόγοις ἀπόνεμε τοῦτο,
περὶ οὓς δῆλον ὡς ὅδ᾽ ἐν γήρᾳ τυγχάνει λίαν ἐσπουδακώς. ἀλλὰ τί δεῖ
πλειόνων; ἤδη γὰρ ὁ λόγος αὐτοῦ Κάτωνος πᾶσαν τὴν ἡμετέραν περὶ
γήρως δηλώσει διάνοιαν.
15 ΣΚΙΠΙΩΝ. *Πολλάκις, ὦ Μάρκε Κάτων, θαυμάζειν εἴωθα μετὰ* 2 4
Γαΐου Λαιλίου τουτουὶ τότε μὲν τὴν σὴν ἀμφὶ τἆλλα περιφανῆ τε καὶ
τελέαν σοφίαν, τότε δὲ καὶ μάλιστα τὸ μηδεπώποτέ σοι ἐπαχθὲς ὂν τὸ
γῆρας αἰσθέσθαι· ὅπερ οὐκ ὀλίγοις τῶν γερόντων οὕτως ἐστὶ μισητόν,
ὥστε φορτίον ἑαυτοὺς φάσκειν ἀνέχειν Αἴτνης βαρύτερον. ΚΑΤΩΝ.
20 *πρᾶγμα ἥκιστα χαλεπὸν θαυμάζειν ἐοίκατε, ὦ Σκιπίων καὶ Λαίλιε. οἷς*
μὲν γὰρ ἐπικουρία παρ᾽ ἑαυτοῖς οὐδεμία πρὸς τὸ ζῆν εὖ τε καὶ μακαρίως,
τούτοις ἐπαχθής ἐστιν ἡλικία πᾶσα· ὅσοι δὲ τἀγαθὰ πάντα παρ᾽ ἑαυτῶν
αἰτοῦσι, τούτοις κακὸν οὐδὲν οἷόν τε δοκεῖν, ὧν ἂν φύσεως ἀνάγκη ἐπάγῃ.
οἷον δὴ καὶ τὸ γῆρας ὡς μάλιστα ὂν τυγχάνει, ὃ κτήσασθαι μὲν εὔχονται
25 *πάντες, κτησάμενοι δὲ τοῦτο πάλιν αὐτὸ αἰτιῶνται· ἐπὶ τοσοῦτον ἥκουσιν*
ἀστασίας καὶ εὐηθείας καὶ κακοηθείας. θᾶττον αὐτό φασιν ἢ ὡς ᾠήθησαν
ὑποδύεσθαι. πρῶτον μὲν οὖν τίς αὐτοὺς οἴεσθαι ψευδῆ ἀναγκάζει; τί
γάρ; θᾶττον νεανίσκῳ τὸ γῆρας ἢ παιδὶ ἡ νεανικὴ ὑποδύεται ἡλικία;
ἔπειτα δὲ ἧττον αὐτοῖς ἐπαχθὲς ἔσται τὸ γῆρας, εἰ ἔτος διατελοῖεν ὀκτα-
30 *κοσιοστὸν ἢ εἰ ὀγδοηκοστόν; τὸ γὰρ τοῦ βίου παρεληλυθός, κἂν μακρόν,*
ἐξερρυηκὸς ἅπαξ οὐδενὶ παραμυθίῳ καταμειλίσσειν εὐήθη γέροντα εἴη

relicto) om. **GO**, (nullo spatio relicto) **Ma** || **20** *ἐοίκατε θαυμάζειν* **Br** || **22** *αἰτοῦσι πάντα* **M** | *τὰ ἀγαθὰ* **BBrFLQRUV** Edd. (praeter Hess) || **23** *οὐδὲν* om. **O** || **24** *ὅτι* om. **R** || **25** *τοσοῦτο δ᾽* **R** Edd. (praeter Hess) *τοσοῦτον δὲ* (in mg. *δὴ*) **C** || **26** *καὶ εὐηθείας* om. **LLv** (in mg. add. **BrM**) || **26, 27** *ὡς ἂν ᾠήθησαν* **BrLLvPU** Hess *ἂν* (spatio duarum litterarum relicto) om. cett. *ἂν ᾠήθησαν* Edd. || **27** *βιάζεσθαι* (in mg. *βιάζεται*) **L** || **28** *ὑποδύεσθαι* (in mg. *ὑποδύεται*) **C** || **29** *ἥττον* **R** | *εἰ* om. **BFH LLvMPQR** Edd. || **30** *παραληλυθός* **LvP** || **31** *μικρόν* **B** | *ἐξερρυκὸς* Edd. (praeter Hess)

8 *σκηπίωνα* **T** || **20** *σκηπίων* **T** || **27** *ὑποδύεσται* **T** | *αὐθοὺς* **T** || **28** *ὑποδεύεται* **T** || **31** *ἐξερρυκὸς* **T**

5 *εὐήθη καταμειλίσσειν δυνατὸν εἴη. διὸ δὴ εἰ τὴν ἐμὴν σοφίαν φιλεῖτε θαυμάζειν (ἣ ὄφελον ἦν ἀξία τῆς θ' ὑμῶν ὑπολήψεως τῆς θ' ἡμετέρας ἐπωνυμίας), ἐν τούτῳ τυγχάνομεν ὄντες σοφοί, ὅτι φύσει ἡγεμόνι ἀρίστῃ ἑπόμεθα καθάπερ θεῷ καὶ πειθόμεθα ταύτῃ· ὑφ' ἧς οὐκ εἰκὸς τῶν ἄλλων τοῦ βίου μερῶν εὖ διαγεγραμμένων τὸ τελευταῖον δρᾶμα ὥσπερ* 5 *ὑπὸ ῥαθύμου ποιητοῦ ἠμελῆσθαι. ἀλλὰ γὰρ ὅμως ἀναγκαῖον ἦν καί τί που ἔσχατον εἶναι καὶ ὥσπερ ἐπὶ τῶν ἀκροδρύων καὶ τῶν ἐκ γῆς καρπῶν ὡσανεὶ πάρετόν τι καὶ εὐκατάπτωτον ὡραίᾳ πεπάνσει· ὃ δὴ πράως οἰστέον ἂν εἴη ἀνδρὶ σοφῷ. τί γὰρ ἄλλο τὸ δίκην Γιγάντων θεομαχεῖν*
6 *ἐστὶν ἢ τὸ τὴν φύσιν ἀμύνεσθαι; ΛΑΙΛΙΟΣ. οὐκοῦν, ὦ Κάτων, κεχαρισ-* 10 *μενώτατ' ἂν ἡμῖν, ἵνα καὶ ὑπὲρ Σκιπίωνος ὑπόσχωμαι, δράσειας, εἴ γ', ἐπειδήπερ ἐλπίζομεν καὶ μέντοι προθυμούμεθα εἰς γέροντας ἀφικέσθαι, πολὺ πρότερον μάθοιμεν παρὰ σοῦ, τίσι ποτὲ λόγοις ῥᾷστα φέρειν δυναίμεθα τὴν βαρύνουσαν αὐτὴν ἡλικίαν. ΚΑΤΩΝ. ποιήσω γε δή, ὦ Λαίλιε, ἄλλως τε καὶ εἰ ὑμῶν ἑκατέρῳ ἐν χάριτι ἔσται, ὡς λέγεις. ΛΑΙ-* 15 *ΛΙΟΣ. καὶ μάλα, ὦ Κάτων, ἡμεῖς γε βουλόμεθα, εἰ μή τί σοι χαλεπόν, ὥσπερ τινὰ μακρὰν ὁδὸν προεληλυθώς, ἣν καὶ ἡμᾶς ὁμοίως δεήσει πορεύεσθαι, τοῦτο, εἰς ὅπερ ἀφίκου, ἰδεῖν ὁποῖόν τι ἐστίν.*

3
7 *ΚΑΤΩΝ. Ποιήσω δὴ ταῦτα, ὦ Λαίλιε, ὡς ἂν οἷός τε γένωμαι. πολλάκις γάρ τοι καὶ περιέτυχον ὀδυρμοῖς ἀνδρῶν ἡλικιωτῶν ἐμῶν (ὅμοιον* 20 *δ' ὁμοίῳ δεῖ πελάζειν, παλαιὰ παροιμία), οὓς Γάιος Σαλινάτωρ, οὓς Σπύριος Ἀλβῖνος, ἄνδρες ὑπατικοί, ἡμέτεροι σχεδόν τι ἡλικιῶται, εἰώθασι κατοδύρεσθαι, τὸ μὲν ὡς τῶν ἡδονῶν στερόμενοι, ὧν ἄνευ οὐδ' ἂν οἴοιντο ζῆν, τὸ δ' ὡς ὑπὸ τούτων ὑπερορώμενοι, ὑφ' ὧν εἰώθεσαν διακονεῖσθαι καὶ θεραπεύεσθαι. οὗτοι δὲ οὐ τὸ αἴτιον ἐδόκουν ἐμοὶ αἰτιᾶσθαι.* 25 *εἰ γὰρ ἦν τοῦτο γήρως αἰτία, κἂν ἐμοὶ τοῖς αὐτοῖς τούτοις χρῆσθαι συνέβαινε καὶ τοῖς λοιποῖς πᾶσι τῶν πρεσβυτέρων, ὧν τὸ γῆρας πολλῶν ὄντων ἔξω μεμψιμοιρίας ὂν οἶδα ἐγώ, οἵ γε τὸ τῶν ἐπιθυμητικῶν ἀπολελύσθαι δεσμῶν οὐ φέρουσι χαλεπῶς οὐδέ τι ὑπὸ τῶν σφετέρων ὑπερορῶνται. ἀλλὰ πάντων δὴ τῶν τοιούτων ὀλοφυρμῶν τὸ αἴτιον οὐκ ἐν* 30 *τῇ ἡλικίᾳ, ἀλλ' ἐν τῷ τρόπῳ ἐστίν. οἱ μὲν γὰρ κόσμιοι καὶ μὴ δύσκολοι μηδ' ἀπαίδευτοι γέροντες ἀνεκτὸν διάγουσι γῆρας· τὸ φορτικὸν δὲ καὶ*

1 *διὸ* **Ma** *δι' ὃ* cett., Edd. | *φιλεῖται* **LvP** *φιλεῖταί*[ε] **L** || 2 *θ' ὑμῶν* **R** Hess *τε ὑμῶν* cett., Edd. (*τ' ὑμῶν* **L**) | *ἡμετέρας*] *ἡμέρας* **a** || 6 *τί*] *τοι* **R** Hess || 7 *ἀκροδρίων* **CFQa** (in mg. *ἀκροδρύων* **C**) || 8 *πρᾶος* **d** || 10 *ἐστὶν* om. **P** Hess | *λαίλιος* (spatio septem litterarum relicto) om. **GO**, (nullo spatio relicto) **Ma** *σκιπίωr* **F** || 11 *καὶ* om. **Q** || 12 *προθούμεθα* **O** || 13 *πρῶτον* **BLLvP** (in mg. *πρότερον* **B**) || 14 *δυνάμεθα* **MP** (in mg. *δυναίμεθα* **M**) Hess || 15 *ἔσται*] *ἔστε* **CU** (in mg. *ἔσται* **C**) | *λαίλιος* (spatio septem litterarum relicto) om. **GO**, (nullo spatio relicto) **Ma** *σκιπίων* **F** *λ.* **R** || 16 *καὶ* om. **e** | *μάλιστα* **OP** || 19 *κάτων* (spatio quinque litterarum relicto) om. **O**,

ἂν δυνατόν. διὸ δὴ εἰ τὴν ἐμὴν σοφίαν φιλεῖτε θαυμάζειν (ἣ ὄφελον ἦν 5
ἀξία τῆς θ' ὑμῶν ὑπολήψεως καὶ τῆς ἡμετέρας ἐπωνυμίας), ἐν τούτῳ
τυγχάνομεν ὄντες σοφοί, ὅτι φύσει ἡγεμόνι ἀρίστῃ ἑπόμεθα καθάπερ
θεῷ καὶ πειθόμεθα ταύτῃ· ὑφ' ἧς οὐκ εἰκὸς τῶν ἄλλων τοῦ βίου μερῶν
5 εὖ διαγεγραμμένων τὸ τελευταῖον δρᾶμα ὥσπερ ὑπ' ἀτέχνου ποιητοῦ
ἠμελῆσθαι. ἀλλὰ γὰρ ὅμως ἀναγκαῖον ἦν καί τι ἔσχατον εἶναι καὶ ὥσπερ
ἐπὶ τῶν ἀκροδρύων καὶ τῶν ἐκ γῆς σπερμάτων ὡσανεὶ πάρετόν τε καὶ
εὔπτωτον ὡραίᾳ πεπάνσει· ὃ δὴ πράως οἰστέον ἀνδρὶ σοφῷ. τί γάρ ἐστιν
ἄλλο τὸ δίκην Γιγάντων θεομαχεῖν ἢ τὸ φύσιν ἀμύνεσθαι; ΛΑΙΛΙΟΣ.
10 οὐκοῦν, ὦ Κάτων, κεχαρισμενώτατ' ἂν ἡμῖν, ἵνα καὶ ὑπὲρ Σκιπίωνος 6
ὑπόσχωμαι, δράσειας, εἴ γ', ἐπειδήπερ ἐλπίζομεν καὶ μέντοι βουλόμεθα
εἰς γέροντας ἀφικέσθαι, πολὺ πρότερον μάθοιμεν παρὰ σοῦ, τίσι ποτὲ λό-
γοις ῥᾷστα φέρειν δυναίμεθα τὴν βαρύνουσαν αὐτὴν ἡλικίαν. ΚΑΤΩΝ.
ποιήσω γε δή, ὦ Λαίλιε, ἄλλως τε καὶ εἰ ὑμῶν ἑκατέρῳ ἐν χάριτι ἔσται,
15 ὡς λέγεις. ΛΑΙΛΙΟΣ. καὶ μάλα, ὦ Κάτων, ἡμεῖς γε βουλόμεθα, εἰ μή τί
σοι χαλεπόν, ὥσπερ τινὰ μακρὰν ὁδὸν προεληλυθώς, ἣν καὶ ἡμᾶς ὁμοίως
δεήσει πορεύεσθαι, τοῦτο, εἰς ὅπερ ἀφίκου, ἰδεῖν ὁποῖόν τι ἐστίν.

ΚΑΤΩΝ. Ποιήσω ταῦτα, ὦ Λαίλιε, ὡς ἂν οἷός τε γένωμαι. πολλάκις 3 7
γὰρ ὀδυρμοῖς περιέτυχον ἐμῶν ἡλικιωτῶν (ὅμοιος δ' ὁμοίῳ ἀεὶ πελάζει,
20 παλαιᾷ παροιμίᾳ), οὓς Γάιος Σαλινάτωρ, οὓς Σπόριος Ἀλβῖνος, ἄνδρες
ὑπατικοί, ἡμέτεροι σχεδόν τι ἡλικιῶται, εἰώθασι κατοδύρεσθαι, τὸ μὲν
ὡς τῶν ἡδονῶν ἀποστερούμενοι, ὧν ἄνευ οὐδ' ἂν οἴοιντο ζῆν, τὸ δ' ὡς
ὑπὸ τούτων ὑπερορώμενοι, ὑφ' ὧν εἰώθεσαν θεραπεύεσθαι. οἱ δὴ οὐ
τὸ αἴτιον αἰτιᾶσθαι ἐδόκουν ἐμοί. εἰ γὰρ ἦν τοῦτο γήρως αἰτία, κἂν ἐμοὶ
25 τοῖς αὐτοῖς τούτοις ⟨χρῆσθαι⟩ ξυνέβαινε καὶ τοῖς λοιποῖς πᾶσι τῶν
πρεσβυτέρων, ὧν τὸ γῆρας πολλῶν ὄντων δίχα μεμψιμοιρίας ὃν οἶδα ἐγώ,
οἵ γε τῶν ἐπιθυμητικῶν ἀπολελύσθαι δεσμῶν οὐ φέρουσι χαλεπῶς οὐδέ
τι ὑπὸ τῶν σφετέρων ὑπερορῶνται. ἀλλὰ πάντων δὴ τῶν τοιούτων ὀδυρ-
μῶν τὸ αἴτιον οὐκ ἐν τῇ ἡλικίᾳ, ἀλλ' ἐν τῷ τρόπῳ ἐστίν. οἱ μὲν γὰρ κόσμιοι
30 καὶ μὴ δύσκολοι μηδ' ἀπαίδευτοι γέροντες ἀνεκτὸν διάγουσι γῆρας· τὸ

(nullo spatio relicto) **GMa** κ. **R** | δὴ] δὲ **BLvP** || 20 τοι] τι **R** || 21 δ' om. **R** | δεῖ om. **LLvP** ἀεὶ Hess || 22 σπύριος **BcBrHLvMPV** σπόριος cett. Hess (σπούριος **L** Goez) | καὶ ἡμέτεροι **Ma** || 23 κατοδύρασθαι **FGLvMaP** Hess | στερούμενοι **G** στερόμενος **U** | οὐδ'] οὐκ **R** || 24 εἰώθασιν **Ma** εἰώθεισαν **V** || 24–29 ὧν – σφετέρων om. **BLLv** (in mg. add. **B**) || 25 οὐκ **U** | τὸ om. **CMaV** || 28 ἀπολῦσθαι **BBrCFMaO** ἀπο(λε)λῦσθαι **GHM** ἀπολεῖσθαι **Q** ἀπολελύασθαι Edd. (praeter Hess) || 29 φέροισι **ace** || 31 γὰρ om. **GMaO** || 32 δὲ om. **BLLvP**

8 τράως **T** || 10 σκηπίωνος **T** || 19 ὅμοιος scripsi ὅμοιον **T** || 20 παλαιᾷ iteravit **T** || 25 χρῆσθαι **α**

8 *ἀπαίδευτον χαλεπὸν παρὰ πάντα τὸν βίον ἐστίν. ΛΑΙΛΙΟΣ. ἔχει μέν, ὦ Κάτων, ᾗ λέγεις· ἀλλ' ἴσως εἴποι τις ἄν, ὡς σοὶ διά τε οὐσίαν καὶ ἀξίαν καὶ εὐπορίαν τὴν σὴν ἀνεκτότερον δοκοίη τὸ γῆρας, τὸ δὲ μὴ πολλοῖς ἐθέλοι συμβαίνειν. ΚΑΤΩΝ. ἔστι τοῦτό γέ τι, ὦ Λαίλιε, ἀλλ' οὐδαμῶς πάντα ἐν τούτῳ. ὡς Θεμιστοκλῆς Σεριφίῳ τῳ πρὸς λοιδορίαν ἀποκρίνασθαι λέγεται· τοῦ μὲν γὰρ εἰπόντος ὡς οὐ δι' οἰκείαν αὐτὸς δόξαν, ἀλλὰ διὰ τὴν τῆς πατρίδος εὐδοκιμεῖ, 'μὰ Δία', ὃς ἔφη, 'οὔτ' ἂν εἰ ἐγὼ Σερίφιος ἦν, ἄδοξος ἂν ἐτύγχανον, οὔτ' εἰ σὺ Ἀθηναῖος, ὀνομαστός ποτε ἂν ἐγένου.' τὸ δ' οὖν τὸν αὐτὸν τρόπον ἐστὶ καὶ περὶ γήρως εἰπεῖν. οὔτε γὰρ ἐν ἀπορίᾳ ἐσχάτῃ ἐλαφρὸν ἂν εἴη τὸ γῆρας οὐδὲ σοφῷ γε οὔτ' αὖ*
9 *ἐν ἄκρᾳ εὐπορίᾳ μὴ ἐπαχθὲς ἀμαθεῖ τε καὶ φαύλῳ. ἐπιδέξια γὰρ παντάπασιν, ὦ Σκιπίων καὶ Λαίλιε, ὅπλα γήρως αἱ τέχναι τε καὶ αἱ ἀσκήσεις τῶν ἀρετῶν, αἳ δῆτα καλῶς διὰ βίου ἐκπονηθεῖσαι καρποὺς φέρουσι θαυμαστοὺς πολὺν χρόνον διαβεβιωκότι, οὐ μόνον τῷ μηδέποτε προλείπειν, μηδ' ἐν τῷ ἐσχάτῳ χρόνῳ τῆς ἡλικίας (καίπερ ὂν μέγα τοῦτό γε), ἀλλ' ὅτι καὶ ἡ τοῦ καλῶς βεβιωμένου βίου σύνεσις καὶ τῶν εὖ πεπραγμένων ἀνάμνησις ἡδίστη οὖσα τυγχάνει.*

4 10 *Ἔγωγε οὖν Κύιντον Μάξιμον, τὸν Τάραντα ἀνειληφότα, γέροντα μειράκιον ὢν καθάπερ τινὰ ἡλικιώτην ἐφίλουν· ἦν γὰρ ἐν ἐκείνῳ τἀνδρὶ σεμνότης εὖ μάλα ἐκ φιλοφροσύνης ἡδυνομένη, οὐδέ τι μετέθηκε τὸν τρόπον τὸ γῆρας. καίτοι γ' αὐτὸν θεραπεύειν ἠρξάμην πρεσβύτην μὲν κομιδῇ μήπω ὄντα, ἡλικίᾳ γε μὴν ἤδη προβεβηκότα. ἐνιαυτῷ γάρ τοι ὕστερον γενέσεως τῆς ἐμῆς ὕπατος ἀπεδείχθη τὸ πρῶτον· σὺν αὐτῷ δὲ τὸ τέταρτον ὑπατεύοντι νεανίσκος ὢν ἐγὼ στρατιώτης εἰς Καπύην ἀπῆλθον, ἔτει δὲ πέμπτῳ ὕστερον ταμίας εἰς Τάραντα, εἶτ' ἀστυνόμος, καὶ μετὰ τετραετίαν ἔπαρχος ἀπεδείχθην, ἣν ἦρξα ἀρχὴν Τυδιτάνου καὶ Κεθήγου ὑπατευόντων, ἡνίκα κεῖνος γέρων κομιδῇ ὢν εἰσηγητὴς Κινθικοῦ γίγνεται νόμου ὑπὲρ δωρεῶν καὶ χαρίτων. οὗτος δὲ καὶ πολέμους, πρεσβύτης ὢν ἤδη ἐμφανῶς, ὥς τις τῶν νεωτέρων ἐπολέμει, καὶ Ἀννίβαν σκιρτῶντα νεανικῶς διεμάλασσεν ἀνεχόμενος· οὗ πέρι παγκάλως ὁ οἰκεῖος ἡμῖν Ἔννιος λέγει·*

1 *χαλεπὸν* om. **MaO** | *λαίλιος* (spatio septem litterarum relicto) om. **MaO**, (nullo spatio relicto) **G** *λ.* **R** || 2–3 *εὐπορίαν κ. ἀ.* **d** || 4 *ἐθέλει* **MaR** Hess | *κάτων* (spatio quinque litterarum relicto) om. **MaO**, (nullo spatio relicto) **G** *κ.* **R** | *τι*] *τοι* **LvP** Hess om. **R** Edd. || 5 *πάντ'* **Ma** | *τῳ* om. **R** Edd. (praeter Hess) || 6 *λέγεται* om. **MaO** | *αὐτὸς* om. **C** || 7 *ἀλλὰ*] *ἀλλ' ὡς* **MV** | *εὐδοκιμεῖν* **BCHLOPQRUV** Edd. | *εἰ 'γὼ* **P** || 8 *ἔνδοξος* **CFGMaOQV** Hess | *ἂν* om. **R** || 11 *τε* om. **BLv** || 12 *αἱ*[2] om. **R** | *ἀσκήσης* **e** || 13 *δὴ τω* (in mg. *δῆτα*) **C** || 14 *πολλὺν* **GO** | *προλιπεῖν* **Lv** Hess *προλίπειν* **BcP** || 15 *ἐν* om. **P** | *χρόνῳ* om. **C** || 16 *βίου* om. **BLLvP** || 18 *Κοΐντον* Edd. (praeter Hess) | *τὸν* **RU** Hess om. cett., Edd. || 20 *εὖ μάλα* iteravit **R** |

φορτικὸν δὲ καὶ ἀπαίδευτον χαλεπόν ἐστι παρὰ πάντα τὸν βίον. ΛΑΙΛΙΟΣ. 8
ἔχει μέν, ὦ Κάτων, ᾗ λέγεις· ἀλλ' ἴσως εἴποι τις ἄν, ὡς σοὶ διά τε οὐσίαν
καὶ ἀξίαν καὶ εὐπορίαν τὴν σὴν ἀνεκτότερον δοκοίη τὸ γῆρας, τὸ δὲ μὴ
πολλοῖς ἐθέλοι συμβαίνειν. ΚΑΤΩΝ. ἔστι τοῦτό γέ τι, ὦ Λαίλιε, ἀλλ' οὐ-
5 δαμῶς πάντα ἐν τούτῳ. ὡς Θεμιστοκλῆς Σεριφίῳ τῳ πρὸς λοιδορίαν
ἀποκρίνασθαι λέγεται· τοῦ μὲν γὰρ εἰπόντος ὡς οὐ δι' οἰκείαν αὐτὸς
δόξαν, ἀλλὰ διὰ τὴν τῆς πατρίδος εὐδοκιμεῖ, 'μὰ Δία', ὃς ἔφη, 'οὔτ' ἂν
εἰ ἐγὼ Σερίφιος ἦν, ἔνδοξος ἂν ἐτύγχανον, οὔτ' εἰ σὺ Ἀθηναῖος ὀνομαστός
ποτε ἂν ἐγένου.' τὸ δ' οὖν τὸν αὐτόν που τρόπον καὶ περὶ γήρως ἐστὶν
10 εἰπεῖν. οὔτε γὰρ ἐν ἀπορίᾳ ἐσχάτῃ ἐλαφρὸν ἂν εἴη τὸ γῆρας οὐδὲ σοφῷ
γοῦν οὔτ' ἀμαθεῖ ἐν ἄκρᾳ εὐπορίᾳ μὴ ἐπαχθές. ἐπιδέξια γὰρ παντάπασιν, 9
ὦ Σκιπίων καὶ Λαίλιε, ὅπλα γήρως αἱ τέχναι τε καὶ ἀσκήσεις τῶν ἀρε-
τῶν, αἳ δῆτα καλῶς διὰ βίου ἐκπονηθεῖσαι καρποὺς φέρουσι θαυμαστοὺς
πολὺν χρόνον διαβεβιωκότι, οὐ μόνον τῷ μηδέποτ' ἐγκαταλείπειν,
15 μηδ' ἐν τῷ ἐσχάτῳ γε χρόνῳ τῆς ἡλικίας (καίπερ ὂν μέγα τοῦτό γε),
ἀλλ' ὅτι καὶ ἡ τοῦ καλῶς βεβιωμένου βίου ξύνεσις καὶ τῶν εὖ πεπραγμέ-
νων ἀνάμνησις ἡδίστη οὖσα τυγχάνει.

Ἔγωγε οὖν Κόιντον Μάξιμον, τὸν Τάραντα ἀνειληφότα, γέροντα 4 10
μειράκιον ὢν ὥσπερ τινὰ ἡλικιώτην ἐφίλουν· ἦν γὰρ ἐν ἐκείνῳ τἀνδρὶ
20 σεμνότης ἐκ φιλοφροσύνης εὖ μάλα ἡδυνομένη, οὐδέ τι τὸ γῆρας τὸν τρό-
πον ἠλλοίωσεν. καίτοι γ' αὐτὸν θεραπεύειν ἠρξάμην πρεσβύτην μὲν κο-
μιδῇ μήπω ὄντα, ἡλικίᾳ γε μὴν ἤδη προβεβηκότα. ἐνιαυτῷ γὰρ μετὰ τὴν
ἐμὴν γένεσιν ὕπατος ἀπεδείχθη τὸ πρῶτον· σὺν αὐτῷ δὲ τέταρτον ὑπα-
τεύοντι νεανίσκος ὢν στρατιώτης εἰς Καπύην ἀπῆλθον, ἔτει δὲ πέμπτῳ
25 ὕστερον ταμίας εἰς Τάραντα, εἶτα ἀγορανόμος, καὶ μετὰ τετραετίαν
στρατηγὸς ἀπεδείχθην, ἣν ἀρχὴν ἦρξα Τυδιτάνου καὶ Κεθήγου ὑπα-
τευόντων, ἡνίκα κεῖνος γέρων κομιδῇ ὢν εἰσηγητὴς γίνεται Κινδικοῦ
νόμου περὶ δωρεῶν καὶ χαρίτων. οὗτος δὲ καὶ πολέμους, πρεσβύτης ὢν
ἐμφανῶς, ὥς τις τῶν νεωτέρων ἐπολέμει, καὶ Ἀννίβαν σκιρτῶντα νεανι-
30 κῶς ὑπομονῇ διεμάλασσεν· οὗ πέρι παγκάλως Ἔννιος ὁ ἡμέτερος οἰ-
κεῖός φησιν·

ἐκ om. **O** | ἡδυνομένη] ἡδομένη (in mg. ηρτυμένη) **P** || 21 γε **MV** || 22 ἡλικίᾳ — προβεβηκότα om. **BBrHLvMP** (in mg. add. **BBrHM**) || 23 ἀνεδείχθη **BLP** || 24 τέταρτον] δεύτερον **CGOQ** (in mg. τέταρτον **C**) om. **Ma** || 25 ἔτη **LvOQ** ἔτι **BrP** ἔτος **Ma** ἔτι^ει **L** | πέμπτον **CGMaQ** | εἶτα **BLvMMaPQ** || 26 Τουδιτάνου **d** || 27 ἐκεῖνος **MMaV** | ὢν κομιδῇ **Ma** | κιντικοῦ **P** κιντυκοῦ **Rac** || 28 γίνεται **C** || 29 ἤδη om. **MaO**

2 μέν, ὦ κάτων iteravit **T** || 7 ἂν α ὢν **T** || 12 σκηπίων **T** || 13 δήτω **T** || 14 διαβεβαικότι **T** || 15 τῷ α τὸ **T** || 25 ὕστερον iteravit posteaque expunxit **T**

πολλὰ δὲ δηθύνων εἰς χρήματα πάντα σαώζει.
τῷ γὰρ πρὸ θρύλλων ἡμὴ σωτηρία ἔσκε.
τοῦ δὴ καὶ κλέα νῦν ἀνὰ λαοὺς πάμμεγα λάμπει.

11 *Τάραντα δὲ ὅσῃ μὲν ἐγρηγόρσει, οἵᾳ δὲ εὐβουλίᾳ χρησάμενος ἀνειλήφει.*
ὅτε δὴ παρόντος κἀμοῦ Σαλινάτωρι, ὃς τῆς πόλεως ἑαλωκυίας ἐπὶ τὴν 5
ἄκραν κατέφυγε, σεμνυνομένῳ καὶ λέγοντι· 'ἐμοῦ συμπράσσοντος, ὦ
Κύιντε Φάβιε, Τάραντα ἀνέλαβες', 'ἀληθέστατα', ἔφη γελάσας, 'εἰ γὰρ
σὺ μὴ ἀπέβαλες, οὐκ ἂν ἔγωγε ἀνέλαβον.' οὐδὲ μὴν ὅ γ' ἐν ὅπλοις ὑπέρ-
τερος ὢν ἢ ἐν τηβέννῳ δοκεῖ, ὅς γε ὑπατεύων τὸ δεύτερον, Σπυρίου Καρ-
βιλίου τοῦ συνάρχοντος ἄγοντος ἡσυχίαν, Γαΐῳ Φλαμινίῳ δημαρχοῦντι, 10
καθ' ὅσον οἷός τε ἦν, ἐνέστη διαιροῦντι κατ' ἄνδρα τὴν Πικηνίδα καὶ
Γαλατικὴν χώραν ἐναντία τῷ τῆς βουλῆς ἀξιώματι, μάντις τε ὢν τῶν
ἐπ' οἰωνοῖς θαρρῶν ἔφασκεν, ὡς, ὅσα μὲν ἐπὶ σωτηρίᾳ τῆς πολιτείας
πράσσεται, ἀρίστοις οἰωνοῖς ταῦτα πράσσοιτο, ὅσα δ' ἐναντία τῇ πολι-
12 *τείᾳ φέρεται, καὶ τοῖς οἰωνοῖς ὅτι ταῦτα φέροιτο ἐναντία. πολλὰ μὲν τοίνυν* 15
τῶν λαμπροτάτων ἐν τῷ ἀνδρὶ τούτῳ κατανενόηκα, θαυμαστότερον δὲ
οὐδὲν ἢ ὅπως τὴν τελευτὴν ἤνεγκε Μάρκου τοῦ υἱέος, ἀνδρὸς τῶν ἐνδόξων
τε καὶ ὑπατικῶν. διὰ χειρὸς δὲ ἡμῖν τὸ ἐγκώμιον, ὅπερ ἀναγινώσκοντες
τίνα οὐχ ὑπερφρονοῦμεν τῶν ἐκ τρίβωνος φιλοσόφων; οὐδ' ἄρα κεῖνός γε
ἐν τῷ ἐμφανεῖ μόνον κἀν τοῖς ὀφθαλμοῖς τῶν πολιτῶν μέγας, ἀλλὰ καὶ 20
ἔνδον τε καὶ οἴκοι βελτίων ἦν. οἷος μὲν γὰρ λόγος αὐτοῦ, οἷα δὲ παραγ-
γέλματα, ὅση δὲ γνῶσις πραγμάτων ἀρχαίων, οἵα δὲ νομίμου καὶ μαντι-
κῆς ἐπιστήμη. πολλοὶ ἔτ' ἐν αὐτῷ λόγοι ἦσαν ὥς γ' ἐν ἀνδρὶ Ῥωμαίῳ· καὶ
πάντας διὰ μνήμης οὐ μόνον τοὺς οἰκείους, ἀλλὰ καὶ τοὺς ἀλλοφύλους
εἶχε πολέμους. οὗ τῶν λόγων οὕτως ἐγὼ πρὸς ἐπιθυμίαν τέως ἀπέλαυον, 25
ὥσπερ εἰ πάλαι προὐμαντευόμην τὸ νῦν ἀποβεβηκὸς τοῦτο, μηκέτ' ἂν
εἶναι μηδένα κείνου γε ἀπεσβηκότος, παρ' οὗ μανθάνειν οἷός τ' ἂν εἴην.
5 13 *Πρὸς δὴ τί ταῦθ' οὕτως ὑπὲρ Μαξίμου πολλά; ὅτι ὁρᾶτε δήπου, ὡς οὐ*
θεμιτὸν φάναι τὸ τοιοῦτον γῆρας ἄθλιον γεγονέναι. ἀλλ' οὐ πάντες Σκι-
πίωνες ἢ Μάξιμοι εἶναι δύνανται, ὥστε πόλεων ἁλώσεις, ὥστε πεζομα- 30
χίας τε καὶ ναυμαχίας, ὥστε πολέμους σφίσι διαπεπολεμημένους, ὥστε

1 supra *δηθύνων* add. *βραδύνων* **LvP** | *σώζει* **Ma** || 2 *προθρύλλων* **CG** (in mg. *πρὸ θρύλλων* **C**) *προθρήλλων* **cde** | *σωτηρίη* Edd. (praeter Hess) || 3 *πάμμε* **U** || 4 *ἀναλήφει* **BLv** *ἀ[ει]ναλήφει* **L** || 6 *σεμνηνομένῳ* **C** | *συμπράττοντος* **Ma** || 7 *εἰ* om. **U** || 8 *σὺ* om. **R** Edd. (praeter Hess) | *ἀπέλαβες* **LP** | *τοῖς ὅπλοις* **MV** || 9 *γε* om. **GMaO** | *σπυρίου* **BBrHLvMP** *σπορίου* cett. Hess (*σπουρίου* **L** Goez) || 11 *οἷον τ' ἦν* **Ma** | *ἐνέστι* **CFGMaO** *ἀντέστη* **R** Hess *ἐνέστι[η]* **Q** *ἀνέστη* **Lac** om. **P** || 12 *τε* **FR** Goez Hess om. cett., Edd. || 13 *οἰωνεῖς* **LvP** *οἴων εἰς* **B** *οἰων[οι]ῷς* **L** | *ὡς*] *καὶ* **R** Edd. (praeter Hess) | *πολιτείας*] *σωτηρίας* **CGMaOQ** (in mg. *πολιτείας* **C**) *πόλεως* (in mg. *πολιτείας*) **F** || 14 *δὲ* **GP** || 16 *τούτῳ* **CGMaOQU** *τῷδε* cett., Edd. || 17 *οὐθὲν*

πολλὰ δὲ δηθύνων εἰς χρήματα πάντα σαώζει.
τῷ γὰρ πρὸ θρύλλων ἡμὴ σωτηρίη ἔσκε.
τοῦ δὴ καὶ κλέος νῦν ἀνὰ λαοὺς πάμμεγα λάμπει.

Τάραντα δ' ἄρα ὅσῃ μὲν ἐγρηγόρσει, οἵᾳ δ' εὐβουλίᾳ ἀνείληφεν. ὅτε δὴ 11
5 *κἀμοῦ ἀκούοντος Σαλινάτωρι, ὃς τῆς πόλεως ἁλούσης ἐπὶ τὴν ἄκραν*
κατέφυγε, σεμνυνομένῳ καὶ λέγοντι· 'ἐμοῦ ξυμπράττοντος, ὦ Κόιντε
Φάβιε, Τάραντα ἀνέλαβες', 'ἀληθέστατα', ἔφη γελάσας, 'εἰ γὰρ σὺ μὴ
ἀπέβαλες, οὐκ ἂν ἔγωγε ἀνέλαβον.' οὐδὲ μὴν ὅδ' ἐν ὅπλοις ὑπέρτερος ἢ
ἐν τηβέννῳ, ὅς γε ⟨ὑπατεύων τὸ δεύτερον⟩, Σπορίου Καρβιλίου τοῦ συν-
10 *άρχοντος ⟨ἄγοντος ἡσυχίαν⟩, Γαΐῳ Φλαμινίῳ δημαγωγοῦντι, καθ' ὅσον*
οἷός τε ἦν, ἐνέστη διαιροῦντι κατ' ἄνδρα τὴν Πικηνίδα καὶ Γαλατικὴν
χώραν ἐναντία τῷ τῆς βουλῆς ἀξιώματι, μάντις τε ὢν τῶν ἐπ' οἰωνοῖς
θαρρῶν ἔφασκεν, ὡς, ὅσα μὲν ἐπὶ σωτηρίᾳ τῆς πολιτείας πράττεται, ἀρί-
στοις οἰωνοῖς ταῦτα πράττοιτο, ὅσα δ' ἐναντία τῇ πολιτείᾳ φέρεται, καὶ
15 *τοῖς οἰωνοῖς ὅτι ταῦτα φέροιτο ἐναντία. πολλὰ μὲν τοίνυν τῶν λαμπροτά-* 12
των ἐν τῷ ἀνδρὶ τούτῳ κατανενόηκα, θαυμαστότερον δὲ οὐδὲν ἢ ὅπως τὴν
τελευτὴν ἤνεγκε Μάρκου τοῦ υἱέος, ἀνδρὸς τῶν ἐνδόξων τε καὶ ὑπατικῶν.
πρὸ χειρῶν ἡμῖν γε τὸ ἐγκώμιον· ὅπερ ἀναγινώσκοντες τίνα οὐχ ὑπερφρο-
νοῦμεν τῶν φιλοσόφων; οὐδ' ἄρ' ἐκεῖνος ἐν τῷ ἐμφανεῖ μόνον κἂν τοῖς
20 *ὀφθαλμοῖς τῶν πολιτῶν μέγας, ἀλλ' ἐξοχώτερος ἔνδον τε καὶ οἴκοι. οἷος*
μὲν γὰρ λόγος αὐτοῦ, οἷα δὲ παραγγέλματα, ὅση δὲ γνῶσις ἀρχαίων πραγ-
μάτων, οἵα δ' ἐπιστήμη μαντικοῦ νομίμου. πολλοὶ ἐν αὐτῷ λόγοι ὡς ἐν
ἀνδρὶ Ῥωμαίῳ· καὶ πάντας διὰ μνήμης εἶχεν οὐ μόνον τοὺς οἰκείους, ἀλλὰ
καὶ τοὺς ἀλλοτρίους πολέμους. οὐ τῶν λόγων οὕτως ἐγὼ πρὸς ἐπιθυμίαν
25 *τέως ἀπέλαυον, ὥσπερ εἰ προὐμαντευόμην, ὃ ἀποβέβηκε, μηκέτ' ἂν εἶναι*
μηδένα ἐκείνου γε ἀπεσβηκότος, ὑφ' οὗ μανθάνειν οἷός τε ἂν εἴην.
Πρὸς δὴ τί ταῦθ' οὕτως ὑπὲρ Μαξίμου πολλά; ὅτι ὁρᾶτε δήπου, ὡς 5 13
οὐ θεμιτὸν φάναι τὸ τοιοῦτο γῆρας ἄθλιον γεγονέναι. ἀλλ' οὐ πάντες
Σκιπίωνες ἢ Μάξιμοι εἶναι δύνανται, ὥστε πόλεων ἁλώσεις, ὥστε πεζο-
30 *μαχίας τε καὶ ναυμαχίας, ὥστε πολέμους σφίσιν αὐτοῖς διαπεπολεμημέ-*

OU ‖ 19 *ἐκ*] *ἐν* **U** | *κἀκεῖνος* **BLvP** *ἐκεῖνος* **MV** ‖ 20 *κἂν* **BCG** ‖ 22 *καὶ μαντικῆς*] *μαντικοῦ* Edd. ‖ 23 *γ'* om. **CMV** ‖ 25 *ἀπέλαβον* **BCGLvMaOPU** (in mg. *ἀπέλαυον* **C**) *ἀπέλαβον* (supra *αυ*) **LQ** ‖ 26 *μηκέτ'* **MaO** *μηκέτι* cett., Edd. ‖ 27 *γε* om. **GM** | *ἀποβεβηκότος* (in mg. *ἀπεσβηκότος*) **C** *ἀπεσβυκότος* Edd. (praeter Hess) ‖ 28 *τί* om. **C** ‖ 29 *τοιοῦτο* **BBcBr** Goez | *γεγονέναι*] *εἶναι* **P** ‖ 30 *ἢ*] *καὶ* (sed supra legitur *ἢ*) **M** ‖ 30–31 *ὥστε — ναυμαχίας* om. **CU** (in mg. add. **C**) ‖ 31 *τε* om. **GO** | *πολέμου* **P**

2 *ἔσχε* **T** ‖ 8 *ἀπέλαβες* **T** ‖ 9 *τηβένω* **T** | ex *α* supplevi | *καβιλίου* **T** ‖ 11 *καθ'* **T** ‖ 12 *τῶν α* *τῷ* **T** ‖ 13 *ταῦτα ἔφασκεν* **T** (sed *ταῦτα* lineola deleta est) ‖ 18 *χείρον* **T** | *οὐκ* **T** ‖ 20 *ἐξωχότερος ἔντον* **T** ‖ 25 *ὥπερ* **T** | *προὐμαντεύομεν* **T** ‖ 29 *σκηπίωνες* **T**

ἐπινικίους πομπὰς ὕστερόν ποτε ἐνθυμεῖσθαι. ἀλλὰ μήν ἐστι καὶ βίου καθαρῶς καὶ ἡσύχως καὶ χαριέντως διηνυσμένου γῆρας ἐλαφρὸν καὶ εὐάρεστον, οἷον τὸ Πλάτωνος πυνθανόμεθα, ὃς πρώτῳ καὶ ὀγδοηκοστῷ ἐτελεύτησεν ἔτει, οἷον τὸ Ἰσοκράτους, ὃν τετάρτῳ καὶ ἐνενηκοστῷ ἔτει φασὶ γεγραφέναι τὸν Πανηγυρικὸν ἐπιγραφόμενον λόγον, πέντε δὲ μετὰ 5
ταῦτα ἔτη ἐπιβιῶναι· οὗ ὁ διδάσκαλος Γοργίας ὁ Λεοντῖνος ἔτη ἑπτὰ καὶ ἑκατὸν διετέλεσεν οὐδέ τι τῆς αὐτοῦ σπουδῆς καὶ τοῦ ἔργου ἔληξεν οὐδεπώποτε· ὃς καὶ ἐρωτώμενος, τί ποτε ἐπὶ τοσοῦτον χρονίζειν ἐν τῷ βίῳ ἐθέλοι, 'οὐδέν', ἔφη, 'ἔχω αἰτιᾶσθαι τὸ γῆρας'. λαμπροτάτη ἀπόκρισις καὶ
14 *ἀνδρὸς ἀξία σοφοῦ. τὰς γὰρ σφετέρας κακίας οἱ ἀμαθεῖς καὶ τὰς σφῶν* 10
αἰτίας ἐπὶ τὸ γῆρας μετάγουσιν· οἷόν τι αὐτὸς οὐκ ἐποίει, οὗ νῦν μνείαν πεποίημαι, Ἔννιος, ἀλλ᾽

> *ἠύθ᾽ ἵππος τ᾽ ἄλκιμος, ὃς πύματον διὰ χῶρον*
> *Ζηνὸς Ὀλύμπια πατρὸς πολλάκις ἦρετ᾽ ἄεθλα,*
> *νῦν κρατερῷ δεδμημένος εὖ μάλα γήραϊ εὕδει.* 15

ἵππου δὲ ἰσχυροῦ καὶ Ὀλυμπιονίκου γήρᾳ τὸ ἑαυτοῦ παραβάλλει. τούτου δὲ καὶ ὑμεῖς μεμνῆσθαι εὖ ἔχοιτε ἄν· ἐνάτῳ γὰρ καὶ δεκάτῳ ἔτει μετὰ τὴν αὐτοῦ τελευτὴν Τίτος Φλαμίνιος καὶ Μάρκος Ἀττίλιος ὕπατοι ἀπεδείχθησαν· αὐτὸς δὲ ἐπὶ Σκηπίωνος ὑπάτου καὶ Φιλίππου τὸ δεύτερον ὑπατεύοντος ἐτελεύτησεν, ἐπειδὴ ἐγὼ πέντε καὶ ἑξήκοντα ἔτη γεγονὼς εὐφώνως 20
τε καὶ εὐτόνως τὸν Οὐοκώνειον νόμον εἰσηγησάμην. ἑβδομηκοντούτης δὲ γενόμενος (ἐπὶ τοσοῦτο γάρ τοι βεβίωκεν Ἔννιος) οὕτως ἔφερε δύο τὰ μέγιστα νομιζόμενα φορτία, πενίαν καὶ γῆρας, ὥστε σχεδόν τι ἐπὶ τούτοις καὶ ἡδόμενος φαίνεσθαι.

15 *Ὅσα γε γάρ τοι σκοπούμενος ἐγὼ καὶ περιβάλλων τῷ νῷ εὑρίσκω ὅτι* 25
τέτταρές εἰσιν μάλιστα αἰτίαι, δι᾽ ἃς ἂν δόξειεν ἄθλιον τὸ γῆρας· μία μὲν ὅτι τῶν πρακτέων ἀφίστησιν· ἑτέρα δ᾽ ὅτι ἀσθενέστερον ἀπεργάζεται τὸ σῶμα· τρίτη δ᾽ ὅτι πασῶν σχεδόν τι ἀποστερεῖ τῶν ἡδονῶν· τετάρτη δ᾽ ὅτι οὐ πόρρω θανάτου ἐστί. τούτων δὲ δή, εἰ δοκεῖ, τῶν αἰτιῶν ὁπόση ἑκάστη καὶ ὅσον εὔλογός ἐστι, θεασώμεθα. 30

6 *Τῶν πρακτέων ἀπάγει τὸ γῆρας. τῶν ποίων; ἢ τῶν ὅσα νεότητι πράσσεται καὶ ἰσχύι; ἆρ᾽ οὖν οὐδὲν χρῆμα πρεσβυτικόν ἐστιν, ὅπερ ἄν, καίτοι σώμασιν ἀσθενέσι, ψυχῆς μέντοι ῥώμῃ ὑπουργηθείη; οὐδὲν ἄρα οἱ περὶ*

1 *ποτ᾽* **Ma** | *ἄλλα* **BLV** || **5** *λόγον* om. **CU** || **6** *ταῦτα* om. **V** | *ἀποβιῶναι* **GMaO** || **7** *πώποτε* **Ma** || **9** *ἐθέλει* **P** | *ἔχω, ἔφη* Edd. || **11** *νῦν* om. **CGMaOQU** (in mg. add. **C**) || **12** *πεποίηται* **CHMaOU** Edd. (praeter Hess) || **13** *ἠύθ᾽* **MV** *ἤυτε* **LvMaOPQ** *ἠῦτ᾽* cett., Hess || **16** *δὲ* **BcCGOQU** *δὴ* **Ma** *ὅδε* cett., Hess | *τούτου*] *τοῦ τε* **F** || **19** *ὑπατεύοντες* **P** || **20** *εὐφρόνως* (in mg. *εὐφώνως*) **G** *εὐφώνος* **e** || **21** *τε* om. **Ma** || **22** *γάρ τοι* om. **M** || **23** *νομιζόμενα* om. **V** || **25** *τὸν νοῦν* **Ma** | *ὅτι* **CLvU** (in mg. add. **P**)

νους, ὥστ᾽ ἐπινίκια ὕστερόν ποτε ἐνθυμεῖσθαι. ἀλλὰ μήν ἐστι καὶ βίου καθαρῶς καὶ ἡσυχίως καὶ χαρίεντως διηνυσμένου γῆρας ἐλαφρὸν καὶ εὐάρεστον, οἷον τὸ Πλάτωνος παρειλήφαμεν, ὃς ἔτει πρώτῳ καὶ ὀγδοηκοστῷ γράφων ἐτελεύτησεν, οἷον τὸ Ἰσοκράτους, ὃν τὸν Παναθηναϊκὸν
5 *ἐπιγραφόμενον λόγον ἔτει τετάρτῳ καὶ ἐνενηκοστῷ φασὶ γεγραφέναι, πέντε δὲ μετὰ ταῦτα ἐπεβίωσεν ἔτη· οὗ ὁ διδάσκαλος Γοργίας ὁ Λεοντῖνος ἔτη ἑπτὰ καὶ ἑκατὸν διετέλεσεν οὐδέ τι τῆς αὐτοῦ σπουδῆς καὶ τοῦ ἔργου ἔληξεν οὐδεπώποτε· ὃς ἐρωτώμενος, τί ποτ᾽ ἐπὶ τοσοῦτον χρονίζειν ἐν τῷ βίῳ ἐθέλοι, ‘οὐδέν’, ἔφη, ‘ἔχω αἰτιᾶσθαι τὸ γῆρας’. λαμπροτάτη*
10 *ἀπόκρισις καὶ ἀνδρὸς ἀξία σοφοῦ. τὰς γὰρ ἰδίας κακίας οἱ ἀμαθεῖς καὶ* **14** *τὰς ἑαυτῶν αἰτίας ἐπὶ τὸ γῆρας μετάγουσι· τὸ δ᾽ οὐκ αὐτὸς ἐποίει, οὗ νῦν μνείαν πεποίημαι, Ἔννιος·*

> *ἠύτε ἵππος τ᾽ ἄλκιμος, ὃς πύματον διὰ χῶρον*
> *Ζηνὸς Ὀλύμπια πατρὸς πολλάκις ἦρετ᾽ ἄεθλα,*
> 15 *νῦν κρατερῷ δεδμημένος εὖ μάλα γήραϊ εὕδει.*

ἵππου ἰσχυροῦ καὶ Ὀλυμπιονίκου γήρᾳ τὸ ἑαυτοῦ παραβάλλει. τούτου δὲ καὶ ὑμεῖς ἔχετε μεμνῆσθαι καλῶς· ἐνάτῳ γὰρ καὶ δεκάτῳ ἔτει μετὰ τὴν αὐτοῦ τελευτὴν Τίτος Φλαμίνιος καὶ Μάρκος Ἀκτίλιος ὕπατοι ἀπεδείχθησαν· αὐτὸς δὲ Σκηπίωνος καὶ Φιλίππου αὖθις ὑπατευόντων ἐτελεύ-
20 *τησεν, ἐπειδὴ ἐγὼ πέντε καὶ ἑξήκοντα γεγονὼς ἔτη φωνῇ μεγάλῃ καὶ πλευρῶν εὐπορίᾳ τὸν Οὐοκωνικὸν νόμον εἰσηγησάμην. ἑβδομηκοντούτης δὲ γενόμενος (ἐπὶ τοσοῦτο γὰρ βεβίωκεν Ἔννιος) οὕτως ἔφερε δύο τὰ μέγιστα νομιζόμενα φορτία, πενίαν καὶ γῆρας, ὥστε σχεδόν τι ἐπὶ τούτοις καὶ ἡδόμενος φαίνεσθαι.*

25 *Σκοπῶν γάρ τοι καὶ συμβάλλων τῷ νῷ τέτταρας μάλιστα αἰτίας εὑρί-* **15** *σκω, καθ᾽ ἃς ἂν τὸ γῆρας δόξειεν ἄθλιον· μίαν μὲν ὅτι τῶν πρακτέων πραγμάτων ἀφίστησιν· ἑτέραν δ᾽ ὅτι ἀσθενέστερον τὸ σῶμα ποιεῖ· τρίτην δ᾽ ὅτι πασῶν σχεδόν τι τῶν ἡδονῶν ἀποστερεῖ· τετάρτην δ᾽ ὅτι οὐ πόρρω θανάτου ἐστί. τούτων δέ, εἰ δοκεῖ, τῶν αἰτιῶν ὁπόση ἑκάστη καὶ ὅσον*
30 *εὔλογός ἐστι, θεασώμεθα.*

Τῶν πρακτέων πραγμάτων ἀπάγει τὸ γῆρας. τῶν ποίων; ἢ τῶν ὅσα **6** *νεότητι καὶ ἰσχύι πράττεται; ἆρ᾽ οὖν οὐδὲν χρῆμα πρεσβυτικόν ἐστιν, ὅπερ καὶ σώμασιν ἀσθενέσι, ψυχῇ μέντοι ὑπουργηθήσεται; οὐδὲν ἄρα*

Hess om. cett., Edd. ‖ **26** *μάλιστα* om. **MV** | *μίαν* **G** Edd. (praeter Hess) ‖ **27** *ἑτέραν* **GMaOQR** Edd. (praeter Hess) ‖ **28** *τρίτην* **Ma** Edd. (praeter Hess) | *τετάρτην* Edd. (praeter Hess) ‖ **29** *δὲ* om. **MaO** | *δή* om. **R** Edd. (praeter Hess) ‖ **30** *ἑκάτη* **U** ‖ **31** *τῶν*[1]] *ὧν* **GMaO** | *πράττεται* (σσ supra) **V** *πράθαιται* **U** ‖ **32** *ἰσχύι* **FMMaOUd** Hess *ἰσχύει* cett. | *ἐστιν* om. Edd. (praeter Hess)

4 *παναθιναικὸν* **T** ‖ **19** *σκηπίονως* **T** ‖ **32** *πρεσβυτηκόν* **T**

Κύιντον Μάξιμον ἔπρασσον, οὐδὲν οἱ περὶ Λεύκιον Παῦλον, τὸν σὸν μὲν πατέρα, ὦ Σκιπίων, κηδεστὴν δὲ τοῦ ἐμοῦ υἱέος, ἀνδρὸς ἀρίστου, οἵ τ' ἄλλοι γέροντες, Φαβρίκιοι, Κούριοι, Κορύγκανοι, ὅτε τῆς πολιτείας εὐβουλίᾳ καὶ ἀξιώματι προεστήκεσαν, οὐδὲν ἔπρασσον; ἀλλὰ μὴν τῷ Ἀππίου Κλαυδίου γήρᾳ προσῆν καὶ τυφλὸν εἶναι· ἀλλ' ὅμως ὅ γε, ψήφῳ τῆς συγκλήτου εἰς εἰρήνην τῷ Πύρρῳ ἀποκλινούσης καὶ σπένδεσθαι βουλομένης, οὐκ ἀπώκνησε φάναι, ἅπερ Ἔννιος ἔπεσι διεξέρχεται φράζων·

16 5

ποῖ φρένες ὑμῶν, αἷς ἦν ἀστεμφῶς πάρος ἴσχειν,
αἶψά γε δὴ ταύτην ἄφρονα τράφθεν μάλ' ἀταρπόν;

καὶ τἄλλα λίαν σεμνῶς· δῆλα μὲν οὖν ὑμῖν καὶ τὰ ἔπη· σώζεταί γε μὴν ἔτι καὶ ὁ λόγος αὐτοῦ Ἀππίου. καὶ ταῦτ' ἔπρασσεν ἐκεῖνος ἔτει ἑβδόμῳ καὶ δεκάτῳ ἀπὸ τῆς δευτέρας ὑπατείας, ἐπειδὴ μεταξὺ ταῖν δυαῖν ὑπατείαιν ἔτη διαγένοιτο δέκα καὶ τιμητὴς πρὸ τῆς προτέρας ὑπατείας ἀποδειχθείη· ὅθεν δὴ καὶ ἔστι μαθεῖν, ὡς πάντως πρεσβύτης αὐτὸς εἴη ἐπὶ τοῦ πρὸς Πύρρον πολέμου· ταυτὶ μέντοι παρὰ τῶν πατέρων οὕτω που παρειλήφαμεν. τοιγάρτοι οὐδὲν ἐπιφέρουσιν οἱ τὸ γῆρας ἀμφὶ τὰ πρακτέα μὴ φάσκοντες διατρίβειν· ὅμοιοί τε τυγχάνουσιν ὄντες, ὥσπερ εἴ τις τὸν κυβερνήτην μηδὲν πράσσειν ἐν τῷ πλῷ λέγοι, ἐπειδὰν τῶν μὲν ἄλλων οἱ μὲν τοὺς ἱστοὺς ἀναρριχῶνται, οἱ δὲ διὰ τῶν καταστρωμάτων τρέχωσιν, ἕτεροι δέ τινες ἀνιμῶνται τὸν ἄντλον, ὁ δὲ τὸ πηδάλιον κατέχων ἐπὶ πρύμνης καθ' ἡσυχίαν καθέζηται· μηδὲν ποιῶν ὧν οἱ νέοι, ἀλλὰ πολὺ δὴ μείζω τε καὶ κρείσσω ποιεῖ. οὐ γὰρ ἰσχύι ἢ τάχει ἢ ὀξύτητι σωμάτων τὰ μεγάλα τῶν πραγμάτων κατασκευάζεται, ἀλλ' εὐβουλίᾳ καὶ γνώμῃ καὶ ἀξιώματι, ὧν τὸ γῆρας οὐχ ὅπως ἐστὶν ἐνδεές, ἀλλὰ καὶ ἐπιδιδόναι εἰς ταῦτα πέφυκεν. εἰ μὴ ἴσως ἐγώ, ὃς καὶ στρατιώτης καὶ χιλίαρχος καὶ πρεσβευτὴς καὶ ὕπατος πολλαῖς ἰδέαις πολέμων ὡμίληκα, νῦν παντὸς ἔργου ὑμῖν πεπαῦσθαι δοκῶ, ὅτε οὐ πολεμῶ ἔτι πολέμους. ἀλλὰ γὰρ ἅττα δεῖ πρᾶξαι τῇ συγκλήτῳ προγράφω καὶ ὅπως τῇ Καρχηδόνι κακῶς ἤδη ἐκ πολλοῦ διανοουμένῃ ἐποίσομεν πόλεμον, πολὺ πρότερον ἀπαγγέλλω· δι' ἣν ἔγωγε οὐ παύσομαι δεδιώς, πρὶν τὸ σύμπαν ἐκκεκομμένην αἰσθέσθαι. ὃ δὴ τρόπαιον σοὶ ταμιεύσαιντο οἱ ἀεὶ ὄντες θεοί, ὦ Σκιπίων, ὡς ἂν τὰ λείψανα μεταδιώξῃς τοῦ πάππου· οὗ τῇ μὲν τελευτῇ τρίτον καὶ

10 15 17 20 18 25 30 19

1 *λεύβιον* **BrLvP** *λεύβιον* **HU** | *μὲν* om. **COPR** *μέντοι* **L** || 3 *κορούγκανοι* **GR** Edd. || 4 *ἔπρασσον* **V** | *τῷ τοῦ* **LLvP** || 6 *βουλομένοις* **BLv** (*-μένος* **U** *-μένοις* **L**) || 8 *ἴσχειν*] *ἔχειν* **R** || 9 *γε*] *δὲ* **MV** (om. **R**) | *ἄφρονα* om. **C** | ante *ἄφρονα* transposuit *μάλ'* **R** || 10 *ὑμῖν* (*ἡμῖν* **M**) *καὶ τὰ ἔπη*] *καὶ ὑ. τὰ ἔπη* **BLLvMaP** (*ὑμῖν* om. **Ma**) *καὶ τὰ ἔπη ὑ.* **Bc** Hess || 11 *ἔτι* om. **R** Edd. || 12 *ταῖς* **LM** (in mg. *ταῖν* **L**) | *δυεῖν* **BBrFGLLvMPa** Hess || 13 *προτέρας*] *δευτέρας* **LvP** || 15 *μέν τι* **BLvP** || 16 *ἀμφὶ*] *ἐπὶ* **GR** Edd. || 17 *τυγχάνουσι* **U** || 18 *λέγει* **d** || 20 *τὸ* om. **M** || 21 *δὴ* om. (sed add.

οἱ περὶ Κόιντον Μάξιμον ἔπραττον, οὐδὲν οἱ περὶ Λεύκιον Παῦλον, τὸν σὸν μέν, ὦ Σκιπίων, πατέρα, κηδεστὴν δὲ τοῦ ἐμοῦ υἱέος, ἀνδρὸς ἀρίστου, οἵ τ' ἄλλοι γέροντες, Φαβρίκιοι, Κούριοι, Κορύγκανοι, ὅτε πολιτείας εὐβουλίᾳ καὶ ἀξιώματι προεστήκεσαν, οὐδὲν ἔπραττον; καὶ μὴν τῷ 16
5 *Ἀππίου Κλαυδίου γήρᾳ προσῆν καὶ τυφλὸν εἶναι· ἀλλ' ὅμως ὅ γε, ψήφῳ τῆς συγκλήτου ἀποκλινούσης εἰς εἰρήνην τῷ Πύρρῳ καὶ σπονδὰς ποιήσασθαι βουλομένης, οὐκ ὤκνησε φάναι, ἅπερ Ἔννιος ἔπεσι διεξέρχεται λέγων·*

ποῖ φρένες ὑμῶν, αἷς ἦν ἀστεμφῶς πάρος ἴσχειν,
10 *αἰψά γε δὴ ταύτην ἄφρονα τράφθεν μάλ' ἀταρπόν;*

καὶ τἄλλα πάνυ σεμνῶς· δῆλα μὲν γὰρ ὑμῖν καὶ τὰ ἔπη· σώζεταί γε μὴν ἔτι καὶ ὁ λόγος αὐτοῦ Ἀππίου. καὶ ταῦτα ἔπραξε κεῖνος ἔτει ἑβδόμῳ καὶ δεκάτῳ ἀπὸ τῆς ἑτέρας ὑπατείας, ἐπειδὴ μεταξὺ ταῖν δυαῖν ὑπατείαιν ἔτη διαγένοιτο δέκα καὶ τιμητὴς πρὸ τῆς προτέρας ὑπατείας ἀποδειχθείη·
15 *ἐξ ὧν δὴ καὶ ἔστι μαθεῖν, ὡς πάντως πρεσβύτης αὐτὸς εἴη ἐπὶ τοῦ Πύρρου πολέμου· ταυτὶ μέντοι παρὰ τῶν πατέρων οὕτω που παρειλήφαμεν. τοιγάρτοι οὐδὲν ἐπιφέρουσιν οἱ τὸ γῆρας ἀμφὶ τὰ πρακτέα τῶν πραγμάτων διατρίβειν μὴ φάσκοντες· ὅμοιοί τε τυγχάνουσιν ὄντες, ὡς εἴ τις τὸν κυβερνήτην μηδὲν πράσσειν ἐν τῷ πλῷ λέγοι, ἐπειδὰν τῶν μὲν ἄλλων οἱ* 17
20 *μὲν τοὺς ἱστοὺς ἀναβαίνωσιν, οἱ δὲ διὰ τῶν καταστρωμάτων τρέχωσιν, ἄλλοι δὲ τὸν ἄντλον ἀρύπτωσιν, ἐκεῖνος δὲ τὸ πηδάλιον κατέχων καθ' ἡσυχίαν ἐπὶ πρύμνης καθέζηται· μηδὲν ποιῶν ὧν οἱ νέοι, ἀλλὰ πολὺ δήπου μείζω τε καὶ κρείσσω ποιεῖ. οὐ γὰρ ἰσχύι ἢ τάχει ἢ ὀξύτητι σωμάτων τὰ μεγάλα τῶν πραγμάτων κατασκευάζεται, ἀλλ' εὐβουλίᾳ καὶ γνώμῃ καὶ*
25 *ἀξιώματι, ὧν τὸ γῆρας οὐχ ὅπως ἐστὶν ὀρφανόν, ἀλλὰ καὶ ἐπιδιδόναι εἰς ταῦτα πέφυκεν. εἰ μὴ ἴσως ἐγώ, ὃς καὶ στρατιώτης καὶ χιλίαρχος καὶ* 18 *πρεσβευτὴς καὶ ὕπατος πολλαῖς πολέμων ἰδέαις ὡμίλησα, νῦν ὑμῖν πεπαῦσθαι δοκῶ, ἐν ᾧ πολέμους ἔτι οὐ πολεμῶ· ἀλλὰ γὰρ ἅττα δεῖ πρᾶξαι τῇ συγκλήτῳ προγράφω καὶ ὅπως τῇ Καρχηδόνι κακῶς ἤδη ἐκ πολλοῦ*
30 *διανοουμένῃ πόλεμον ἐποίσομεν, πολὺ πρότερον ἀπαγγέλλω· δι' ἣν ἔγωγε οὐ παύσομαι δεδιώς, πρὶν αὐτὴν τὸ σύμπαν ἐκκεκομμένην αἰσθέσθαι. ὃ δὴ* 19 *τρόπαιον σοὶ ταμιεύσαιντο οἱ ἀεὶ ὄντες θεοί, ὦ Σκιπίων, ὡς ἂν τὰ λείψανα τοῦ σοῦ πάππου μεταδιώξῃς· οὗ τῇ μὲν τελευτῇ τρίτον καὶ τριακοστὸν*

in mg.) **M** ‖ 22 *ἰσχύει* **BrLP** Edd. (praeter Hess) | *σωμάτων* om. **C** *σώματος* **Ma** ‖ 22–23 *τὰ – πραγμάτων* om. **GMaOQU** ‖ 23 *κατασκευάζετα* **R** ‖ 27 *πολεμῶ*] *πολέμων* **U** ‖ 29 *ποιήσομεν* **Vd** *ἐποιήσομεν* **P** *ποιήσομεν* (ω supra o) **M** | *ἀπαγγέλω* **BBrFGLLv PQU** ‖ 30 *αἰσθαίσθαι* **U** ‖ 31 *ταμιεύσαντο* **ce** Goez | *οἱ* om. **P**

2 *σκηπίων* **T** ‖ 5 *τυφλῶ* **T** ‖ 21 *ἄνθλον* **T** ‖ 24 *ἀλλὰ* **T** ‖ 30 *πότερον* **T** ‖ 31 *αὐτὸ* **T** ‖ 32 *σκηπίων* **T** ‖ 33 *μεταδιωξήαις* **T**

τριακοστὸν ἔτος τουτί, τὴν μνήμην δ' ἐκείνου τἀνδρὸς ἅπας ὁ ἐπιὼν δια-
δέξεται χρόνος. ἐνιαυτῷ γὰρ πρὸ τῆς ἐμῆς τιμητείας τὸν βίον κατέστρε-
ψεν, ἐννέα ἔτεσι μετὰ τὴν ἐμὴν ὑπατείαν, ἐπειδὴ ὕπατος αὖθις ἐμοῦ
ὑπατεύοντος ἀναρρηθείη. μὴ οὖν αὐτῷ, εἰ εἰς ἔτος ἑκατοστὸν διεβίω, τοῦ
γήρως ἂν μετεμέλησεν; μὰ Δί', οὐ γὰρ ἐκδρομαῖς ἢ πηδήμασιν οὐδὲ πόρ- 5
ρωθεν ἀκοντίοις ἢ ἐγγύθεν μαχαίραις χρώμενος ἂν διετέλει, ἀλλὰ λόγῳ
καὶ εὐβουλίᾳ καὶ γνώμῃ· ἅπερ εἰ μὴ ἐν τοῖς γέρουσιν ἦν, οὐκ ἂν τὴν με-
20 *γάλην βουλὴν γερουσίαν ἐκάλεσαν οἱ ἡμέτεροι πρόγονοι. καὶ παρὰ Λακε-*
δαιμονίοις δὲ οἱ τὴν ὑψηλοτάτην τῶν ἀρχῶν διοικοῦντες, ὅπερ εἰσί, τοῦτο
καὶ ὀνομάζονται, γέροντες. ὥστ' εἰ ἀναγνῶναι ἢ πυθέσθαι ἐθέλοιτε τὰς 10
ἔξωθεν, μεγίστας τῶν πολιτειῶν ὑπὸ νέων πταισάσας, παρὰ γερόντων
ἀνορθωθείσας καὶ ἀποκατασταθείσας εὕροιτε ἄν. 'ἀλλ' εἴπαθ', ὅπως
ὤλετο τάχιστα πάνθ' ὑμῖν τὰ τῆς πολιτείας τηλικαῦτα πράγματα.' οὕτω
γὰρ ἀνακρίνονται ἐν τῇ Νεβίου τοῦ ποιητοῦ παιδιᾷ· ἄλλα τε οὖν ἀποκρί-
νονται κἀκεῖνα δὴ εἰς τὰ πρῶτα· 'παρῄεσαν τάχιστα ῥήτορες νέοι, μει- 15
ράκι' εὐήθη.' ἡλικίας μὲν ἀκμαζούσης θρασύτητα δηλονότι εἶναι, γήρως
δὲ φρόνησιν.

7
21 *Ἀλλὰ τήν γε μνήμην ἐλαττοῦσθαι συμβαίνει. πείθομαι, ἢν μὴ ταύτην*
ἀσκῇς ἢ εἰ φύσει βραδύτερος ὢν τυγχάνῃς. Θεμιστοκλῆς μέντοι συμπάν-
των τῶν πολιτῶν ἐγίνωσκε τὰ ὀνόματα· μῶν οὖν τι αὐτὸν οἴεσθε πόρρω 20
γενόμενον ἡλικίας τὸν ὄντ' Ἀριστείδην Λυσίμαχον εἰωθέναι προσαγο-
ρεύειν; οἶδ' ἔγωγε μὴ μόνον τοὺς ὄντας τούτους, ἀλλὰ καὶ τοὺς πατέρας
καὶ τοὺς πάππους αὐτῶν, οὐδέ τι τὰ μνήματα ἀναγινώσκων δέδοικα, ὅ
φασι, μὴ ἀπολέσω τὴν μνήμην· ἐκ τούτων γάρ τοι αὐτῶν ἀναγινωσκο-
μένων εἰς μνήμην ἐπανάγω τῶν ἀπογενομένων. οὐ μὴν ἀλλ' οὐδέπω τινὰ 25
τῶν γερόντων ἐπιλαθόμενον ἤκουσα, ᾗ γῆς θησαυρὸν κατορωρυχὼς εἴη·
ἀλλ' ἄρα μέμνηνται πάντων, ὧν ἐπιμέλειαν ποιοῦνται, οἷον ἐξεγγυήσεών τε
συγκειμένων καὶ ἀνταλλαγῶν, καὶ ὅστις μὲν αὐτοῖς, ὅτῳ δ' οὗτοι ὀφείλοιεν.
22 *τί δὲ οἱ τῶν νομίμων ἐξηγηταί; τί δ' οἱ ἀρχιερεῖς; τί δ' οἱ οἰωνοσκόποι;*
τί δ' οἱ φιλόσοφοι γέροντες, ὡς πλείστων μνημονικῶς ἔχουσιν; παραμένει 30
γὰρ τὸ ἀγχίνουν καὶ γέρουσιν, ἢν μόνον γε παραμένῃ σπουδὴ καὶ φιλο-
πονία, καὶ ταῦτα οὐ μόνον ἐπ' ἀνδράσι τῶν λαμπρῶν τε καὶ ἐπιτίμων,
ἀλλὰ κἂν τῷ ἰδιώτῃ τε καὶ ἡσύχῳ βίῳ. Σοφοκλῆς μὲν οὖν ἐν γήρᾳ βαθεῖ

1 *τ' ἀνδρὸς* **C** *ἀνδρὸς* **R** || **2** *τιμητίας* **GMaOU** || **3–4** *αὖθις — ὑπατεύοντος* iteraverunt **BrHL** (sed expunxerunt **HL**) || **5** *δία* (in mg. *δι'*) **G** || **6** *μαχαίρας* **LvP** *μαχαίρᾳς*[αι] **L** || **8** *ἐκάλουν* **MV** || **9** *τοῦτο] οὕτως* **d** || **10** *ὀνομάζονται* **R** Edd. *ὀνομά-ζουσι* cett. (*ὀνομάζονται* in mg. **CG**) | **14** *ἀνακρίνοντι* **R** || **15** *παρῇσαν* Edd. (praeter Hess) | *μειράκια* **CGHLvMQR** || **18** *ἢν] εἰ* **GPR** Edd. || **19** *ὢν* om. **B** || **20** *οἴε-σθαι* **d** || **21** *ὄντως* **BCO** *ὄντος* **Q** *ὄντα* **d** || **22** *ἐγὼ* **B** | *τούτους] τοιούτους* **GO** || **23** *τὰ* om. **d** | *μνήματ'* **V** || **23.24** *ὃ φράσοι* **FHLv** (in mg. *ὅ φασι* **H**) *ὄφρα σοι*

ἔτος τουτί, τὴν μνήμην δ᾽ ἐκείνου τἀνδρὸς πᾶς ὁ ἐπιὼν διαδέξεται χρόνος.
ἐνιαυτῷ γὰρ πρὸ τῆς ἐμῆς τιμητίας τὸν βίον κατέστρεψεν, ἐννέα ἔτεσι
μετὰ τὴν ἐμὴν ὑπατείαν, ἐπειδὴ ὕπατος αὖθις ἐμοῦ ὑπατεύοντος χειροτο-
νηθείη. μῶν οὖν αὐτῷ, εἰ εἰς ἔτος ἑκατοστὸν διεβίωσε, τοῦ γήρως ἂν
5 μετεμέλησεν; μὰ Δί᾽, οὐ γὰρ ἐκδρομαῖς ἢ πηδήμασιν οὐδὲ πόρρωθεν
ἀκοντίοις ἢ ἐγγύθεν μαχαίραις χρώμενος ἂν διετέλεσεν, ἀλλὰ λόγῳ καὶ
εὐβουλίᾳ καὶ γνώμῃ· ἅπερ εἰ μὴ ἐν γέρουσιν ἦν, οὐκ ἂν τὴν μεγάλην βου-
λὴν γερουσίαν ἐκάλεσαν οἱ ἡμέτεροι πρόγονοι. καὶ παρὰ Λακεδαιμονίοις 20
δὲ οἱ τὴν ὑψηλοτάτην διοικοῦντες ἀρχῶν, ὅπερ εἰσί, τοῦτο καὶ ὀνομάζον-
10 ται, γέροντες. ὥστ᾽ εἰ ἀναγνῶναι ἢ πυθέσθαι ἐθέλοιτε τὰς ἔξωθεν, με-
γίστας τῶν πολιτειῶν ὑπὸ νέων σφαλείσας, ὑπὸ γερόντων ἀνορθωθείσας
καὶ ἀποκατασταθείσας εὑρήσετε. ‘ἀλλ᾽ εἴπαθ᾽, ὅπως ὤλετο τάχιστα
πάνθ᾽ ὑμῖν τὰ τῆς πολιτείας τηλικαῦτα πράγματα.’ οὕτω γὰρ ἀνακρίνου-
σιν ἐν τῇ Νεβίου τοῦ ποιητοῦ παιδιᾷ· ἄλλα τε οὖν ἀποκρίνονται κἀκεῖνα
15 δὴ εἰς τὰ πρῶτα· ‘παρῄεσαν τάχιστα ῥήτορες νέοι, μειράκια εὐήθη.’
ἡλικίας μὲν ἀνθούσης θρασύτητα δηλονότι, γήρως δὲ φρόνησιν εἶναι.

Ἀλλὰ τήν γε μνήμην ἐλαττοῦσθαι συμβαίνει. πείθομαι, ἢν μὴ ταύτην 7 21
ἀσκῇς ἢ εἰ φύσει βραδύτερος ὢν τυγχάνῃς. Θεμιστοκλῆς ξυμπάντων τῶν
πολιτῶν τὰ ὀνόματα κατειλήφει· μῶν οὖν τι αὐτὸν οἴεσθε πόρρω γενόμενον
20 ἡλικίας τὸν ὄντ᾽ Ἀριστείδην Λυσίμαχον εἰωθέναι προσαγορεύειν; οἶδ᾽ ἔγω-
γε μὴ μόνον τοὺς ὄντας τούτους, ἀλλὰ καὶ τοὺς πατέρας αὐτῶν καὶ τοὺς
πάππους, οὐδέ τι τὰ μνημεῖα ἀναγινώσκων δέδοικα, ὅ φασι, μὴ ἀπολέσω
τὴν μνήμην· ἐκ τούτων γάρ τοι αὐτῶν ἀναγινωσκομένων εἰς μνήμην
ἐπανάγω τῶν ἀπογενομένων. οὐ μὴν ἀλλ᾽ οὐδέπω τινὰ τῶν γερόντων
25 ἐπιλαθόμενον ἤκουσα, ᾗ γῆς θησαυρὸν κατορωρυχὼς εἴη· ἀλλ᾽ ἄρα
μέμνηνται πάντων, ὧν ἐπιμέλειάν γε ποιοῦνται, οἷον ἐγγυῶν ξυγκειμένων,
καὶ ὅστις μὲν αὐτοῖς, ὅτῳ δ᾽ οὗτοι ὀφείλοιεν. τί δὲ οἱ τῶν νομίμων 22
ἐξηγηταί; τί δ᾽ οἱ ἀρχιερεῖς; τί δ᾽ οἱ οἰωνοσκόποι; τί δ᾽ οἱ φιλόσοφοι
γέροντες, ὡς πλείστων μνημονικῶς ἔχουσι; ⟨παραμένει γὰρ τὸ ἀγχίνουν
30 καὶ γέρουσιν, ἢν μόνον γε⟩ παραμένῃ σπουδὴ καὶ φιλοπονία, καὶ ταῦτα
⟨οὐ μόνον⟩ ἐπ᾽ ἀνδράσι τῶν λαμπρῶν τε καὶ ἐπιτίμων, ἀλλὰ κἂν τῷ ἰδι-
ώτῃ βίῳ καὶ ἡσυχίῳ. Σοφοκλῆς μὲν γοῦν ἐν γήρᾳ βαθεῖ τραγῳδίας ἐποίει·

LLvP (in mg. ὅ φασι **L**) || 24 αὐτῶν om. (sed in mg. add.) **M** | 25 εἰς — ἀπογενο-μένων om. **U** || 27 ἐπιμέλειαι **BP** ἐπιμέλειας (ar superscr.) **L** || 28 συγκειμένων om. **MP** (in mg. add. **M**) συγγειμένων **BU** | ἀνταλλάγων **CPUV** | ὀφείλειεν **CGQ** || 29 οἱ ἀρχιερεῖς] ἱερεῖς **P** || 30 ἔχουσιν **MV** ἔχουσι cett., Hess || 31 γὰρ — παραμένῃ om. **BrHLvM MaPQR** || 32 καὶ[1] om. **R** Goez | τε om. **V**

1 διαδύξεται **T** || 2 ἐνιαυτοῦ **T** | τιμητεία **T** | κατέστεψεν **T** || 18 τυγχάνις θεμιστοκῆς **T** || 26 ἐγγνῶν **T** || 28 ξηγηταὶ **T** || 29 μνημωνικῶς **T** || 29–30 παραμένει — γε supplevi ex α || 31 οὐ μόνον α

τραγῳδίας ἐποίει· ὃς καὶ διὰ σπουδὴν τῶν τοιούτων ἀμελῶς ἔχειν τῶν
κατὰ τὴν οἰκίαν δοκῶν, εἰς δικαστήριον ὑπὸ τῶν υἱέων ἐκλήθη, ἵν',
ὥσπερ ἔθος ἡμῖν ἀπαγορεύειν τὰ ὑπάρχοντα πατράσι κακῶς τὰ περὶ
τὴν οὐσίαν διοικουμένοις, ὡς ἐκεῖνον οἷόν τινα ἀφρόνων ἀποστήσαιεν τῶν
οἰκείων χρημάτων οἱ δικασταί. τότε δ' ὁ γέρων τὸν μῦθον αὐτόν, ὃν διὰ 5
χειρὸς εἶχε καὶ ὑπογυιότατα γέγραφεν, Οἰδίπουν τὸν ἐν τῷ Κολωνῷ, παρ-
αναγνῶναι τοῖς δικασταῖς λέγεται καὶ ἐρέσθαι, εἴ τι κεῖνο τὸ ποίημα
ἀφραίνοντός του δοκοίη· τοῦ δὲ παρανεγνωσμένου ψήφῳ τῶν δικαστῶν
23 ἀφείθη. μὴ οὖν τόνδε, μὴ Ἡσίοδον, Σιμωνίδην, Στησίχορον, μὴ οὓς
πρότερον εἶπον, Ἰσοκράτη τε καὶ Γοργίαν, μὴ Ὅμηρον, μὴ Πυθαγόραν, 10
τὸν ἡγεμόνα τῶν φιλοσόφων, μὴ Δημόκριτον, μὴ Πλάτωνα, μὴ Ξενο-
κράτη, μὴ Ζήνωνα ὕστερον καὶ Κλεάνθην, ἢ ὃν ἐν Ῥώμῃ καὶ ὑμεῖς ἴδετε,
Διογένην τὸν Στωϊκόν, ἄφωνον γενέσθαι τὸ γῆρας ἠνάγκασε περὶ τὰς
οἰκείας σπουδάς; ἢ πᾶσι τούτοις ἡ τῶν αὐτῶν σπουδῶν ἐνδελέχεια ἐξ
24 ἴσου τῷ βίῳ διεγεγόνει; ἀλλ' ἄγε τὰς θείας ταύτας ἐῶμεν σπουδάς· ἔχω 15
γάρ τοι ὀνομάσαι Ῥωμαίους ἐκ Σαβίνης ἀγροίκους, γείτονας ἐμοὶ καὶ
συνήθεις, ὧν ἀπόντων οὐδέποτε σχεδόν τι ἔργ' ἄττα τῶν μειζόνων γί-
νεται ἀμφὶ τὸν ἀγρόν, οὐ γὰρ σπειρομένων οὐδὲ συλλεγομένων οὐδὲ
ἀποτιθεμένων τῶν καρπῶν. κἂν ἐπὶ τῶν ἄλλων δέ γε τοῦθ' ἧσσον καὶ θαυ-
μαστόν· γέρων γὰρ οὕτως οὐδείς, ὥστε μὴ οἴεσθαι ἐνιαυτὸν ἂν ἐπιζῆσαι. 20
ἀλλ' οἱ αὐτοὶ περὶ ἐκεῖνα πονοῦσιν, ἅπερ οὐδὲν τὸ παράπαν πρὸς ἑαυτοὺς
φέροντα ἴσασι· 'δένδρα' γὰρ 'φυτεύει, ἅττα αἰῶνα ἕτερόν γ' ὀνήσει' Στά-
25 τιος ὁ ἡμέτερος ἔφη ἐν Συνεφήβοις. οὐδέ τι ἀμφιβάλλων ὁ γηπόνος,
καίπερ ὢν γέρων, ἀποκρίνεται τῷ, τίνι φυτεύει, ἐρωτῶντι· 'θεοῖς ἀθα-
νάτοις, οἵ με οὐχ ὅτι λαβεῖν ταῦτα παρὰ τῶν προγόνων ἠξίωσαν, ἀλλὰ καὶ 25
τοῖς ἔπειτα παραδοῦναι.'

8 Ὀρθότερον οὖν καὶ Καικίλιος περὶ τοῦ προορωμένου γέροντος τὰ εἰς
ἕτερον αἰῶνα ἢ ὁ αὐτὸς ἐκεῖνα· 'νὴ Δία, γῆρας', ἔφη, 'κἂν ἄλλο μηδὲν
ἐπιφέρῃς ἐρχόμενον, ἓν δὴ τοῦτό που κακῶν ἅλις, ὡς πόλλ' ἀνάγκη τῶν
ἀβουλήτων ὁρᾶν, ὅτῳ ξυνέβη μακρὸν διαζῆσαι χρόνον.' ἴσως δὲ καὶ πολ- 30
λά, ὧν γε βούλεται. καὶ δὴ καὶ νεότης εἰς ἃ μὴ βούλεται ἐμπίπτει πολλά-
κις. κἀκεῖνο δὲ φαυλότερον ὁ αὐτὸς λέγει· 'κακοδαιμονέστατον τοῦτ' οἴομαι
γήρως, μισητὸν αὐτὸν ἐννοεῖν ὄντα ἑτέροις κατ' ἐκεῖνο τοῦ βίου'. ἡδύν γε

1 *ἔχων* **P** ‖ 2 *ἀπὸ* **d** ‖ 3 *πατράσι*] *γονεῦσι* **R** Edd. (praeter Hess) ‖ 4 *τὴν οὐσίαν*] *οἰκίαν* **MV** | *τῶν* om. **MV** ‖ 6 *καὶ* om. **BCGLvMaOQ** (sed add. **GQ**) | *ὑπογ.*] *νεωστὶ* **P** | *τὸν* om. **R** Edd. (praeter Hess) ‖ 7 *ἐκεῖνο* **BGLLvMMaO** Hess ‖ 8 *ἀφραινοῦντος* **B** *ἀφρονοῦντος* **P** *ἀφραίνον* **R** ‖ 9 *οὓς* om. **CU** ‖ 10 *τε* om. **GO** (in mg. add. **C**) ‖ 11 *τὸν* om. **MV** | *ξενοκράτην* **Ma** Goez ‖ 12 *ὕστερον* om. **Ma** | *κλεάντην* **R** | *καὶ*[2] om. **CU** ‖ 13 *στοικόν* **QU** ‖ 14 *ἐντελέχεια* **P** Hess ‖ 15 *ἀλλ' ἄγε* **BBcCGV** *ἀλλά γε* cett., Edd. | *ταύτας* om. **LvP** ‖ 16 *γάρ τι* **Ma** ‖ 17 *τι* om. **LvP** | *γίγνεται* **GHMaOQRU** ‖ 21 *ἀλλὰ* **de** | *ποιοῦσιν* **O** ‖ 22 *ἴασι* **U** | *φυτεύει* **MV** *φ. θερίζει* cett., Edd. |

*ὃς καὶ διὰ σπουδὴν τῶν τοιούτων ἀμελῶς ἔχειν τῶν κατὰ τὴν οἰκίαν δο-
κῶν, εἰς δικαστήριον ὑπὸ τῶν υἱέων ἐκλήθη, ἵν', ὥσπερ ἔθος ἡμῖν ἀπαγο-
ρεύειν τὰ ὑπάρχοντα πατράσι κακῶς τὰ περὶ τὴν οὐσίαν διοικουμένοις,
ὡς ἐκεῖνον οἷόν τινα τῶν ἀφρόνων ἀποστήσαιεν τῶν ἰδίων χρημάτων οἱ
5 δικασταί. τότε δ' ὁ γέρων τὸν μῦθον αὐτόν, ὃν διὰ χειρὸς εἶχε καὶ ὑπο-
γυιότατα γέγραφεν, Οἰδίποδα τὸν Κολωναῖον, παραναγνῶναι τοῖς δικα-
σταῖς λέγεται καὶ ἐρέσθαι, εἴ τι κεῖνο τὸ ποίημα ἀφραίνοντός του δοκοίη·
οὗ δὴ παρανεγνωσμένου ψήφῳ τῶν δικαστῶν ἀφείθη. μῶν οὖν τόνδε,* 23
*μῶν Ἡσίοδον, Σιμωνίδην, Στησίχορον, μῶν οὓς πρότερον εἶπον, Ἰσο-
10 κράτην τε καὶ Γοργίαν, μῶν Ὅμηρον, μῶν Πυθαγόραν, τὸν ἡγεμόνα τῶν
φιλοσόφων, μῶν Δημόκριτον, μῶν Πλάτωνα, μῶν Ξενοκράτην, μῶν
Ζήνωνα ὕστερον καὶ Κλεάνθην, ἢ ὃν ἐν Ῥώμῃ καὶ ὑμεῖς ἴδετε, Διογένην
τὸν Στωϊκόν, ἄφωνον γενέσθαι τὸ γῆρας ἠνάγκασεν ἀμφὶ τὰς ἰδίας
σπουδάς; ἢ πᾶσι τούτοις ἡ τῶν σπουδῶν ἐνδελέχεια ἐξ ἴσου τῷ βίῳ
15 διεγεγόνει; ἀλλ' ἴθι τὰς θείας ταύτας σπουδὰς ἐῶμεν· ἔχω γὰρ ὀνομάσαι* 24
*Ῥωμαίους ἀγροίκους ἐκ Σαβίνου, γείτονας καὶ συνήθεις ἐμοί, ὧν ἀπόντων
οὐδέποτε σχεδόν τι ἔργ' ἄττα τῶν μειζόνων γίνεται ἀμφὶ τὸν ἀγρόν, οὐ
γὰρ σπειρομένων οὐδὲ συλλεγομένων οὐδὲ ἀποτιθεμένων τῶν καρπῶν.
κἂν ἐπὶ τῶν ἄλλων δὲ τοῦθ' ἧττον καὶ θαυμαστόν· γέρων γὰρ οὕτως οὐδείς,
20 ὥστε μὴ οἴεσθαι ἐνιαυτὸν ἂν δύνασθαι ἐπιζῆσαι. ἀλλὰ οἱ αὐτοὶ περὶ ἐκεῖνα
πονοῦσιν, ἅπερ οὐδὲν τὸ παράπαν πρὸς ἑαυτοὺς φέροντα ἴσασι· 'δένδρα
φυτεύει, θερίζει, ἅττα αἰῶνα ἕτερόν γ' ὀνήσει', ὡς ὁ ἡμέτερος Στάτιος
ἐν Συνεφήβοις φησίν. οὐδ' ἀμφιβάλλων ὁ γηπόνος, καίπερ γέρων, ἀπο-* 25
*κρίνεται τῷ, τίνι φυτεύει, ἐρωτῶντι· 'θεοῖς ἀθανάτοις, οἵ με οὐ μόνον
25 λαβεῖν ταῦτα παρὰ τῶν προγόνων ἠξίωσαν, ἀλλὰ καὶ τοῖς ἔπειτα παραδοῦ-
ναι.'*

Ὀρθότερον οὖν Καικίλιος περὶ τοῦ προορῶντος γέροντος τὰ εἰς ἕτερον 8
*αἰῶνα ἢ ὁ αὐτὸς ἐκεῖνα· 'νὴ Δία, γῆρας', ἔφη, 'κἂν ἄλλο μηδὲν ἐπιφέρῃς
ἐρχόμενον, ἓν δὴ τοῦτό που κακῶν ἅλις, ὡς πόλλ' ἀνάγκη τῶν ἀβουλήτων
30 ὁρᾶν, ὅτῳ ξυνέβη μακρὸν διαζῆσαι χρόνον.' ἴσως δὲ καὶ πολλά, ὧν γε
βούλεται. καὶ δὴ καὶ νεότης εἰς ἃ μὴ βούλεται πολλάκις ἐμπίπτει. ἔτι
δὲ κἀκεῖνο φαυλότερον ὁ αὐτὸς Καικίλιος· 'κακοδαιμονέστατον τοῦτ' οἴο-
μαι γήρως, μισητὸν αὐτὸν ἐννοεῖν ὄντα ἑτέροις κατ' ἐκεῖνο τοῦ βίου'.*

ἅττε **CFGOPU** *ἅττ' ἐς* **Ma** | *αἰῶνα*] *ἀλῶναι* **BLvP** | *ὠνήσει* **Oac** *ὠνέσει* **U** | *ὥσπερ Στάτιος* **d** Goez || **24** *ὧν*] *ὦ* **U** | *ἀποκρίνεται* (σθαι supra scr.) **P** | *φυτύειν* **Q** || **25** *μ' οὐχ* **P** Hess | *ἠξιώθησαν* **CGMaOQU** | *καὶ* om. **BcCGHMMaRV** || **27** *κεκίλιος* **U** || **28** *ἔφη* om. **d** || **30–31** *ὅτῳ – γε* om. **BLLvP** || **31** *ἐμπίπτει πολλάκις* om. **BL** || **32** *δὲ* om. **LLv** | *κακοδαιμονέστερον* **MV** || **33** *γήρως – ἑτέροις* om. **F** | *ἡδύ* **L**

6 *κωλωναίων* **T** || **8** *ἀφεῖται* **T** || **12** *ξήνωνα* | *διογένην* in mg. add. **T** || **13** *ἄφρω-νον* **T** || **15** *ὠώμεν* **T** || **32** *κικίλιος* **T**

26 *μᾶλλον ἢ μισητόν. ὥσπερ γὰρ τοῖς εὐφυΐᾳ κοσμουμένοις τῶν μειρακίων οἱ σοφοὶ τῶν γερόντων ἐφήδονται τό τε γῆρας τούτων ἐστὶν ἐλαφρότερον, ὅσοι ἐκ νέας δὴ φιλοῦνται καὶ θεραπεύονται, οὕτω καὶ τὰ μειράκια τοῖς τῶν γερόντων παραγγέλμασι χαίρει, οἷς ἐπὶ τὰς σπουδὰς τῶν ἀρετῶν προσβιβάζεται· οὐδέ τι ἧσσον ὑμῖν ἐμαυτὸν ἢ ὑμᾶς ἐμοὶ ἡδεῖς αἰσθάνομαι* 5 *ὄντας. ἀλλὰ γὰρ ἤδη ὁρᾶτε, ὡς τὸ γῆρας οὐχ ὅπως χαλαρόν ἐστι καὶ ἀργόν, ἀλλὰ καὶ πολύεργον δὴ καί τι αἰεὶ ἐργαζόμενόν τε καὶ μηχανώμενον, δηλονότι τοιοῦτο, οἷα περ ἑκάστῳ σπουδὴ τοῦ πρὸ τοῦ βίου ὑπῆρξε. τί δαί; οἳ καὶ διδάσκονταί τι, καθάπερ Σόλωνα ἐκλαμπρυνόμενον ἔπεσιν ὁρῶμεν, ὃς γηράσκειν καθ᾽ ἡμέραν διδασκόμενός τί φησιν, οἷόν τι κἀγὼ* 10 *πεποίηκα, ὃς γέρων ὢν γράμματα ἔμαθον Ἑλληνικά· ἃ δὴ οὕτω πως συνήρπασα ἐκθύμως, ὥσπερ εἰ χρόνιον δίψος ἐκπλῆσαι ἐπιθυμῶν, ἵνα γνώριμά μοι γένοιτο αὐτὰ ταῦτα, οἷς παραδείγμασι νῦν προσχρώμενόν με ὁρᾶτε. οἷον δὴ καὶ Σωκράτην δράσαντα περὶ χορδὰς πυνθανόμενος ἐβουλόμην μὲν ἔγωγε ἂν κἀκεῖνο — ἐπεμελοῦντο γάρ τοι καὶ χορδῶν* 15 *μαθήματος οἱ ἀρχαῖοι —, τὰ περὶ τοὺς λόγους δ᾽ ὡς ἀληθῶς διεπονησάμην.*

9
27 *Οὐδέ τι νῦν ἐπιποθῶ νεανίσκου ἰσχύν — ἕτερος γὰρ ἦν οὑτοσὶ τόπος κακιῶν εἰς τὸ γῆρας —, οὐδέν τι μᾶλλον ἢ νεανίσκος ὢν ἀλκὴν ἐλέφαντος ἐπόθουν ἢ ταύρου. χρῆσθαι γὰρ τῷ παρόντι ἀεὶ πρέπει καὶ ὅτι ἂν πράσ-* 20 *σῃς πράττειν εἰς δύναμιν. τίς γὰρ ἂν γένοιτο εὐκαταφρονητοτέρα φωνὴ τῆς Μίλωνος τοῦ Κροτωνιάτου; ὃς γέρων ὢν ἤδη τοὺς ἀθλητὰς γυμναζομένους ἐν τῷ σταδίῳ θεώμενος ἐπιβλέψαι εἰς τοὺς βραχίονας αὐτοῦ λέγεται καὶ φάναι δακρύων· 'ἀλλ᾽ οὗτοί γε ἤδη τεθνήκασι'. μὰ Δί᾽, οὐχ οὗτοι τοσοῦτον ὅσον σύ, φλύαρε· οὐ γὰρ σὺ διὰ σεαυτὸν ἀπεδείχθης σεμνότερος* 25 *οὐδεπώποτε, ἀλλὰ διὰ τὰ σεαυτοῦ πλευρά τε καὶ τοὺς βραχίονας. οὐδὲν οὖν οἱ περὶ Σέξτον Αἰμύλιον τοιοῦτο, οὐδὲν ἔτεσι πρόσθεν πολλοῖς οἱ περὶ Τίτον Κορύγκανον, οὐδὲν ἄρτι οἱ περὶ Πόπλιον Κράσσον, ὑφ᾽ ὧν τὰ νόμιμα τοῖς πολίταις προὐγράφετο· οἷς μέχρι ἐσχάτης ἀναπνοῆς ἐπιδέδωκε*
28 *τὸ φρονεῖν. ἀλλὰ δέος, μὴ ὁ ῥήτωρ γήρᾳ παραχαλάσειεν· ἔστι καὶ γὰρ* 30 *αὐτοῦ τὸ ἐπιτήδευμα οὐ μόνον ἀγχινοίας, ἀλλὰ καὶ πλευρῶν εὐτονίας καὶ νὴ Δία εὐήχου φωνῆς. παντάπασί γε τὸ τῆς φωνῆς ἐμμελὲς ἐκεῖνο ἔτι κἂν τῷ γήρᾳ οὐκ οἶδ᾽ ὅπως ἐκλάμπει, ὅπερ ἔγωγε ἔτι καὶ νῦν οὐκ ἀπ-*

1 *κεκοσμημένοις* **R** Edd. || 2 *τό τε*] *καὶ τό γε* **d** || 3 *ἐκ*] *ὑπὸ* **R** | *τοῖς*] *τῆς* **Ma** || 4 *ἀρετῶν*] *γερόντων* (in mg. *ἀρετῶν*) **C** || 5 *προσβιβάζονται* **BrHLLvOP** Hess *προσβιάζεται* Edd. | *ἐμαυτὸν ὑμῖν* **PR** Hess || 6 *ἐστι* om. **Ma** || 6.7 *καὶ ἀργόν* om. **R** || 7 *μηχανόμενον* **G** || 8 *τοῦ*[1] **FMaP** Hess *τὸν* cett., Edd. *τῶν* Goez | *πρὸ τοῦ*] *πρότερον* **R** || 11 *πως* om. **BcCGMaOPQ** || 12 *εὐθύμως* Edd. (praeter Hess) | *ὥσπερ — ἐπιθυμῶν* iteravit **L** || 14 *σωκράτη* **BBrCFGHLLvMRUV** || 15 *μὲν* om. **d** | *ἂν ἔγωγε* **V** || 18 *γὰρ ἦν* om. **BLLv** || 19 *τι* om. **Lv** *καὶ* **d** || 21 *ἐς* **M** *ἐπὶ* **R** | *ἂν γένοιτο* om. **C** || 22 *ὃς*] *ὡς* **MV** (in mg. *ὃς* **V**) || 23 *αὐτοῦ βραχίονας* **BBrCGHMMa**

ἡδύν γε μᾶλλον ἢ μισητόν. ὡς γὰρ τοῖς εὐφυΐᾳ κεκοσμημένοις τῶν μειρα- 26
κίων οἱ σοφοὶ τῶν γερόντων ἐφήδονται τό τε γῆρας τούτων ἐστὶν ἐλαφρό-
τερον, ὅσοι ἐκ νέας φιλοῦνται καὶ θεραπεύονται, οὕτω καὶ τὰ μειράκια
τοῖς τῶν γερόντων παραγγέλμασι χαίρει, οἷς ἐπὶ τὰς τῶν ἀρετῶν σπουδὰς
5 *προσβιβάζεται· οὐδέ τι ἧττον ὑμῖν ἐμαυτὸν ἢ ὑμᾶς ἐμοὶ ἡδεῖς ὄντας αἰσθά-*
νομαι. ἀλλὰ γὰρ ὁρᾶτε, ὡς τὸ γῆρας οὐχ ὅπως ἐστὶ χαλαρόν τε καὶ
ἄπρακτον, ἀλλὰ καὶ πολύεργον καί τι ἐργαζόμενον ἀεὶ καὶ μηχανώμενον,
τοιοῦτο δηλονότι, οἷα περ ἑκάστῳ σπουδὴ τοῦ πρὸ τοῦ βίου ὑπῆρξε. τί
δή; οἳ καὶ διδάσκονταί τι, καθάπερ Σόλωνα ἔπεσιν ὁρῶμεν μεγαλυνόμενον,
10 *ὃς γηράσκειν καθ᾽ ἡμέραν τι διδασκόμενος ἔλεγεν, οἷόν τι κἀγὼ πεποίηκα,*
ὃς γέρων Ἑλληνικὰ γράμματα ἔμαθον· ἃ δὴ οὕτω πως ἐκθύμως συνήρ-
πασα, ὥσπερ εἰ χρόνιον δίψος ἐκπλῆσαι ἐπιθυμῶν, ἵν᾽ αὐτὰ ταῦτά μοι
γνώριμα γένοιτο, οἷς παραδείγμασι νῦν με ὁρᾶτε προσχρώμενον. ὃ δὴ
Σωκράτη δράσαντα περὶ χορδὰς πυνθανόμενος ἐβουλόμην μὲν ἂν ἔγωγε
15 *κἀκεῖνο — ἐπεμελοῦντο γὰρ καὶ χορδῶν μαθήματος οἱ ἀρχαῖοι —, τὰ*
περὶ τοὺς λόγους δ᾽ ὡς ἀληθῶς διεπονησάμην.

9

Οὐδέ τι νῦν ἐπιποθῶ ἰσχὺν νεανίσκου — ἕτερος γὰρ ἦν οὑτοσὶ τόπος 27
κακιῶν εἰς τὸ γῆρας —, οὐδέν τι μᾶλλον ἢ νεανίσκος ὢν ἀλκὴν ἐλέφαντος
ἢ ταύρου ἐπόθουν. χρῆσθαι γὰρ τῷ παρόντι πρέπει καὶ ὅτι ἂν πράττῃς
20 *πράττειν εἰς δύναμιν. τίς γὰρ ἂν εὐκαταφρονητοτέρα φωνὴ γένοιτο τῆς*
Μίλωνος τοῦ Κροτωνιάτου; ὃς γέρων ὢν ἤδη τοὺς ἀθλητὰς γυμναζομέ-
νους ἐν τῷ σταδίῳ θεώμενος ἐπιβλέψαι λέγεται εἰς τοὺς αὑτοῦ βραχίονας
καὶ φάναι δακρύων· ‘ἀλλ᾽ οὗτοί γε ἤδη τεθνήκασι’. μὰ Δί᾽, οὐχ οὕτος
τοσοῦτον ὅσον σὺ φλυαρεῖς· οὐ γὰρ σὺ διὰ σαυτὸν ἀπεδείχθης σεμνότεροι
25 *οὐδεπώποτε, ἀλλὰ διὰ σαυτοῦ πλευρά τε καὶ τοὺς βραχίονας. οὐδὲν οὖν*
οἱ περὶ Σέξτον Αἰμύλιον τοιοῦτο, οὐδὲν ἔτεσι πρόσθεν πολλοῖς οἱ περὶ
Τίτον Κορύγκανον, οὐδὲν ἄρτι οἱ περὶ Πόπλιον Κράσσον, ὑφ᾽ ὧν τὰ νό-
μιμα κατεγράφετο τοῖς πολίταις· οἷς μέχρι ἐσχάτης ἀναπνοῆς προκέκοφε
τὸ φρονεῖν. ἀλλὰ δέος, μὴ ὁ ῥήτωρ γήρᾳ παραχαλάσειεν· ἔστι καὶ γὰρ 28
30 *αὐτοῦ τὸ ἐπιτήδευμα οὐ μόνον ἀγχινοίας, ἀλλὰ καὶ πλευρῶν καὶ ἰσχύος*
καὶ νὴ Δία εὐήχου φωνῆς. παντάπασί γε τὸ τῆς φωνῆς ἐμμελὲς ἐκεῖνο
ἔτι κἀν τῷ γήρᾳ οὐκ οἶδ᾽ ὅπως ἐκλάμπει, ὅπερ ἔγωγε ἔτι καὶ νῦν οὐκ

OUV (om. **Lv**) | *λέγεται* om. **MaOU** || **24** *τεθνήκασιν* **MV** || **25** *τοσοῦτον* om. **P** | *φλύαρε* **R** *φλυαρεῖς* cett. (*φλυαρῇς* **P**), Hess || **26** *τε* om. **LvP** || **27** *σέκτον* **P** *σὲ καὶ τὸν* **B** | *τοιοῦτοι* **MV** | *πολλοῖς* om. **BP** || **28** *Τίτον*] *σὲ καὶ τὸν* **BLv** | *Κορούγκανον* **R** Edd. || **29** *ἐγράφετο* **CGMaOQU** (in mg. *προὐγράφετο* **C**) || **30** *καὶ* om. **BBeC** (*γὰρ καὶ* Edd.) || **32** *φωνῆς*[1] — *τῆς* om. **MPR** Edd. | *ἐκεῖνον* **CU** || **33** post *καὶ* add. *ὅπως* **U**

6 *χαλαρόν* **α** *χαλεπόν* **T** || **7** *μηχανόμενον* **T** || **8** *τοῦ — βίου* **α** *τὸν — βίον* **T** || **11** *ἐκθύμος* **T** || **18** *ἢ* iteravit **T** || **19** *χρῆσται* **T** || **23** *ὄτοι γε ἤδι* **T**

ὤλεσα· καὶ τἀμὰ ἔτη ὅμως ὁρᾶτε. ἀλλὰ μὴν εὐπρεπής ἐστιν ὁ τοῦ γέροντος λόγος καὶ ἥσυχος καὶ ἀνειμένος, καὶ ὡς τὰ πολλὰ αὐτὸς ἀκρόασιν ἑαυτῷ ἐξεργάζεται ὁ τοῦ εὐφραδοῦς γέροντος πρᾶός τε καὶ εὐσύνθετος λόγος. οὗ δὴ κἂν εἰ αὐτός τις ἐφικνεῖσθαι μὴ οἷός τ' εἴη, ἐπιστέλλειν γε μὴν Σκιπίωνι καὶ Λαιλίῳ δύναιτο ἄν· τί γὰρ ἥδιον γήρως σπουδαῖς βρίθοντος 5
29 *ἐκ νεότητος; ἢ οὐδὲ ταύτην γοῦν τὴν ἰσχὺν καταλείψομεν γήρᾳ, διδάσκειν, παιδεύειν, ἄγειν εἰς ἅπαν καθῆκον τοὺς νέους; οὗ δὴ ἔργου τί ποτ' ἂν περιφανέστερον γένοιτο; ἐμοὶ τοίνυν καὶ οἱ περὶ Γναῖον καὶ Πόπλιον τὼ Σκιπίωνε καὶ οἱ σοὶ δύο πάπποι, Λεύκιος Αἰμύλιος καὶ Πόπλιος Ἀφρικανός, εὐτυχεῖς ὄντες τῆς τῶν εὖ γεγονότων ἠιθέων ὁμιλίας ἐδόκουν·* 10
μηδέ τινες ὦσι διδάσκαλοι τεχνῶν ἀγαθῶν, οὓς μακαρίους οὐ νομιστέον, κἂν τὰ περὶ ἰσχὺν γεγηρακότα καὶ ἐκλελοιπότα γε ᾖ. καίτοι καὶ ἡ τῆς ἰσχύος αὕτη γε ἐπίλειψις κάκη νεότητος πλεονάκις ἢ γήρως συμβαίνει· νεότης γὰρ φιλήδονος καὶ ἀκόλαστος σῶμα διάκενον φέρουσα τῷ γήρᾳ
30 *παρέδωκε. Κῦρος μὲν οὖν παρὰ Ξενοφῶντι τῷ λόγῳ, ὃν διελήλυθεν ἀποθνήσκων, γέρων ὢν παντελῶς, οὔ φησιν ἐπαισθέσθαι ποτὲ τὸ ἑαυτοῦ* 15
γῆρας ἀσθενέστερον γενόμενον τῆς νεότητος. ἐγὼ δὲ καὶ Λεύκιον Μέτελλον μέμνημαι ἰδὼν ἔτι παῖς ὤν, ὃς τετραετίᾳ μετὰ τὴν ἑτέραν ὑπατείαν ἀρχιερεὺς ἀποδειχθεὶς μέγιστος ἔτη δύο καὶ εἴκοσι προὔστη τῆς ἀρχιερωσύνης, οὕτω πως εὖ ἔχοντα τὴν ἰσχὺν τὸν ἔσχατον χρόνον τῆς ἡλικίας, 20
ὥσθ' ἥκιστα νεότητά γε ἐπιζητεῖν. περὶ ἐμαυτοῦ γὰρ λέγειν ἴσως οὐκ ἀναγκαῖον, ἣν καὶ πρεσβυτικὸν τοῦτό γε ᾖ καὶ τῇ ἡλικίᾳ ἡμῶν συγκεχωρημένον.

10
31 *Ὁρᾶτε γὰρ καὶ ὡς παρ' Ὁμήρῳ Νέστωρ τὴν ἑαυτοῦ ἰσχὺν πολλάκις ὑμνεῖ. τρίτην γὰρ ἤδη γενεὰν ἀνθρώπων ἐβίον, οὐδέ οἱ φόβος, μὴ τἀληθῆ περὶ ἑαυτοῦ κηρύττων ἤτοι λίαν ἀλαζὼν ἢ λάλος δοκέῃ. καὶ γάρ, ὡς Ὅμηρος ἔφη,* 25

τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

ἐς ἣν δή γε ἡδονὴν οὐδεμιᾶς ἰσχύος τῶν περὶ τὸ σῶμα ἐτύγχανε προσδεόμενος· καὶ μὴν δὴ κἀκεῖνος ὁ τῆς Ἑλλάδος ἡγεμὼν δέκα τυχεῖν οὐ τῷ Αἴαντι ὁμοίων, ἀλλὰ τῷ Νέστορι εὔχεται· ὃ δὴ εἰ προσγένοιτό οἱ, οὐκ 30
32 *ἀμφιβάλλει τὸ μὴ οὐκ ὀλίγου χρόνου ἁλῶναι τὸ Ἴλιον. ἀλλ' ἐπάνειμι δὴ*

1 *τὰ ἐμὰ* **Ma** | *ὁ* om. **V** || 4 *ἐπιστέλλειν*] *προστάττειν* in mg. **V** || 5 *καὶ σκιπίωνι* **BLLvP** | *δύναιτ'* **d** || 6 *γοῦν* in mg. add. **M** || 7 *ἔργον* **CLvPQR** Edd. | *ποτ'* om. **Ma** || 8 *καὶ*[1] om. **M** || 10 *τῆς* om. **Ma** | *γεγονότων*] *γερόντων* (in mg. *γεγονότων*) **C** *γεγονόντων* **U** || 11 *μηδέ* **CLv** *μὴ δέ* cett., Hess || 13 *ἐπίληψις* **B** *ἐπίλειψέ̇ις* **L** | *νεότητι* **R** || 15 *παραδίδωσι* **d** || 16 *ἐπεσθέσθαι* (in mg. *ἐπαισθέσθαι*) **H** *αἰσθέσθαι* **R** | *τὸ* om. **U** || 17 *δὲ* om. **R** Edd. (praeter Hess) || 20 *πως*]

ἀπέβαλον· καὶ τἀμὰ ἔτη ὅμως ὁρᾶτε. ἀλλὰ μὴν εὐπρεπής ἐστιν ὁ τοῦ γέροντος λόγος καὶ ἥσυχος καὶ ἀνειμένος, καὶ ὡς τὰ πολλὰ αὐτὸς ἀκρόασιν ἑαυτῷ ἐξεργάζεται ὁ τοῦ εὐφραδοῦς γέροντος πρᾶός τε καὶ εὐσύνθετος λόγος. οὗ δὴ κἂν εἰ αὐτός τις ἐφικνεῖσθαι μὴ οἷός τ' εἴη, ἐπιστέλλειν γε μὴν Σκιπίωνι καὶ Λαιλίῳ δυνήσεται. τί γὰρ ἥδιον γήρως σπουδαῖς βρίθοντος ἐκ νεότητος; ἢ οὐδὲ ταύτην γοῦν τὴν ἰσχὺν καταλείψομεν γήρᾳ, 29 *διδάσκειν, παιδεύειν, εἰς πᾶσαν καθήκοντος ἐργασίαν ἄγειν τοὺς νέους; οὗ δὴ ἔργου τί ποτ' ἂν περιφανέστερον γένοιτο; ἐμοὶ τοίνυν καὶ ⟨οἱ⟩ περὶ Γναῖον καὶ Πόπλιον τὼ Σκιπίωνε καὶ οἱ σοὶ δύο πάπποι, Λεύκιος Αἰμύλιος καὶ Πόπλιος Ἀφρικανός, εὐτυχεῖς τῆς τῶν εὖ γεγονότων ἠιθέων συνοδίας ἐδόκουν· μηδέ τινες ὦσι διδάσκαλοι τεχνῶν ἀγαθῶν, οὓς μακαρίους οὐ νομιστέον, κἂν εἰ τὰ περὶ τὴν ἰσχὺν γεγηρακότα καὶ ἐκλελοιπότα τυγχάνοι. καίτοι καὶ ἡ τῆς ἰσχύος αὕτη γε ἔκλειψις κάκη νεότητος πλεονάκις ἢ γήρως ἀποτελεῖσθαι συμβαίνει· νεότης γὰρ φιλήδονος καὶ ἀκόλαστος σῶμα διάκενον φέρουσα τῷ γήρᾳ παρέδωκε. Κῦρος οὖν παρὰ* 30 *Ξενοφῶντι τῷ λόγῳ, ὃν διελήλυθεν ἀποθνήσκων, γέρων ὢν παντελῶς, οὔ φησιν ἐπαισθέσθαι ποτὲ τὸ ἑαυτοῦ γῆρας ἀσθενέστερον γενόμενον τῆς νεότητος. ἐγὼ δὲ Λεύκιον Μέτελλον μέμνημαι ἔτι παῖς, ὃς τετραετίᾳ μετὰ τὴν ἑτέραν ὑπατείαν ἀρχιερεὺς μέγιστος ἀποδειχθεὶς ἔτη δύο καὶ εἴκοσι προὔστη ταυτησὶ τῆς ἱερωσύνης, οὕτω πως εὖ ἔχοντα τὴν ἰσχὺν τὸν ἔσχατον χρόνον τῆς ἡλικίας, ὥσθ' ἥκιστα νεότητά γε ἐπιζητεῖν. περὶ ἐμαυτοῦ γὰρ λέγειν ἴσως οὐκ ἀναγκαῖον, κἂν πρεσβυτικὸν τοῦτό γε ᾖ καὶ τῇ ἡλικίᾳ ἡμῶν ξυγκεχωρημένον.*

10 31 *Ὁρᾶτε γὰρ ὡς παρ' Ὁμήρῳ Νέστωρ τὴν ἑαυτοῦ ἰσχὺν πολλάκις ἀνακηρύττει. τρίτην γὰρ ἤδη γενεὰν ἀνθρώπων ἐβίου, οὐδέ οἱ φόβος, μὴ τἀληθῆ κηρύττων περὶ ἑαυτοῦ ἢ ἄγαν ἀλαζὼν ἢ λάλος δοκέῃ. καὶ γάρ, ὡς Ὅμηρος εἶπε,*

τοῦ καὶ ἀπὸ γλώττης μέλιτος γλυκίων ῥέεν αὐδή.

πρὸς ἣν δήπουθεν ἡδονὴν οὐδεμιᾶς ἰσχύος σωματικῆς ἐτύγχανε προσδεόμενος· ὅμως μὴν ἐκεῖνος ὁ τῆς Ἑλλάδος ἡγεμὼν οὐδέποτ' εὔχεται ὥστ' ἔχειν δέκα ὁμοίους τῷ Αἴαντι, ἀλλ' ὥστε τῷ Νέστορι· ὃ δὴ εἰ προσγένοιτό οἱ, οὐκ ἀμφιβάλλει τὸ μὴ οὐκ ὀλίγου χρόνου ἁλῶναι τὸ

περ Edd. (praeter Hess) || **24** *ὡς καὶ* **R** | *τὴν ἑαυτοῦ*] *τοῦ αὐτοῦ* **R** Edd. (praeter Hess) || **26** *ἢ*] *καὶ* **M** || **28** *γλώσσης* **R** Edd. *γλώττης* cett. | *γλυκύων* **e** || **29** *εἰς* **MaR** Edd. || **30** *κεῖνος* **d** || **31** *οἱ* om. **d** || **32** *ἀμβιβάλλει* **CU** | *ὀλίγον χρόνον* **P** | *τὸ*[2]] *τὸν* **CLQU**

5 *σκηπίωνι* **T** || **8** *ἔργον* **T** | *οἱ* α || **11** *συνοδείας* **T** || **12** *ἐκλεληπότα* **T** || **20** *εὖ* in mg. add. **T** || **26** *ἀλάζων* **T** | *δοκέοι* **T**

*ἐπὶ τὰ παρ' ἐμαυτοῦ. ἐγὼ γὰρ τέταρτον καὶ ὀγδοηκοστὸν ἔτος διάγων
τουτὶ βουλοίμην μὲν ἂν σεμνύνεσθαι ἔχειν ἐφ' οἷς ὁ Κῦρος· ἔχω μέντοι
τοσοῦτον εἰπεῖν, ὡς ἰσχὺς μὲν οὐκέτι μοι ἡ αὐτή, ἡ δήποτε ἦν ἢ στρατιώτῃ
ἐπὶ τῷ Λιβυκῷ πολέμῳ ἢ ταμίᾳ ἐπὶ τῷ αὐτῷ τούτῳ πολέμῳ ἢ ὑπάτῳ
ἐν Ἰβηρίᾳ ἢ ὕστερον ἔτει τετάρτῳ, ἡνίκα χιλίαρχος ὢν ἀμφὶ Θερμοπύλας* 5
*κατεμαχόμην, Μάρκου Ἀκιλίου Γλαβρίωνος ὄντος ὑπάτου· οὐ μὴν σαφῶς
με ἐξενεύρισε τὸ γῆρας οὐδὲ ἐκάκωσεν, ὡς καὶ ὑμεῖς δὴ ὁρᾶτε· οὐδὲν γὰρ
τὸ βουλευτήριον ὡς ἀποῦσαν ποθεῖ τὴν ἐμὴν ἰσχύν, οὐδὲν τὰ ἔμβολα, οὐδὲν
οἱ φίλοι, οὐδὲν οἱ πελάται, οὐδὲν οἱ ξένοι. οὐδὲ γὰρ συγκατεθέμην τῇ πα-
λαιᾷ καὶ ἐπαινετῇ παροιμίᾳ, ἣ γέροντα πρωιαίτερον γίγνεσθαι παραινεῖ,* 10
*εἰ βούλοιο ἐπὶ πολὺ γέρων εἶναι. ἀλλ' ἔγωγε ἧσσον ἂν ἐπὶ πολὺ γέρων
εἶναι μᾶλλον ἑλοίμην ἢ γέρων εἶναι πρὶν εἶναι. ἀμέλει καὶ οὐδείς με ἔτι
καὶ νῦν ἔσχεν εὑρεῖν μὴ ἄσχολον ὄντα. ἀλλ' ἰσχύος ἔλασσον ἔχω ἢ ὁπο-*
33 *τεροσοῦν ὑμῶν. ἀλλ' οὐδ' ὑμεῖς γε τὴν Τίτου Ποντίου τοῦ ταξιάρχου
ἰσχὺν ἔχετε· ἆρ' οὖν διὰ τοῦτ' ἐκεῖνος βελτίων ἂν ὑμῶν εἴη; μόνον ἰσχύος* 15
*συμμετρία παρέστω, τοσοῦτον δέ, ὅσον ἂν ἕκαστος δυνατὸς ᾖ, ἀγωνιζέ-
σθω· [καὶ] ναὶ δὴ κεῖνός γε οὐδέν τι πόθῳ κρατήσεται μεγάλης ἰσχύος.
Μίλων γε μὴν Ὀλυμπίασι παρελθεῖν εἰς τὸ θέατρον λέγεται βοῦν ζωὸν
ἀνέχων τοῖς ὤμοις. πότερον οὖν τὴν περὶ τὸ σῶμα ταύτην ἢ τὴν τῆς
Πυθαγόρου ἀγχινοίας ἰσχὺν ἂν ἕλοιο δοθῆναί σοι; ἁπλῶς δὴ τῷ ἀγαθῷ* 20
*τούτῳ χρῶ μὲν παρόντι, ἀπὸν δὲ μηδὲν ἐπιζήτει, εἰ μὴ τάχα καὶ ἔφηβοι
τέως μὲν τὴν παιδικὴν ἡλικίαν, σμικρὸν δὲ παραμείψαντες τὴν ἡβητικὴν
ἐπιζητεῖν μέλλουσι. δρόμος ἡλικίας ἐστὶν ὡρισμένος καὶ φύσεως ὁδὸς
μία καὶ αὕτη ἁπλῆ, οἰκείαν τε ὡραιότητα μέρος ἡλικίας ἕκαστον εἴληχεν·
ὡς γάρ τοι ἀσθένεια μέν ἐστι παίδων, ἀλκὴ δὲ νεανίσκων, σεμνότης δ' ἤδη* 25
ἐμβριθοῦς ἡλικίας, οὕτως ἄρα καὶ ἡ τοῦ γήρως πέπανσις ἔχει τι κατὰ φύ-
34 *σιν, ὅπερ εἰς καιρὸν οἰκεῖον προσήκει παραλαμβάνεσθαι. ἀλλ' οἶμαί σε
πυνθάνεσθαι, ὦ Σκιπίων, ἅττα Μασσανάσσης ὁ σὸς νομιζόμενος ξένος
ποιεῖ τὸ τήμερον, ἔτη ἐνενήκοντα γεγονώς· πεζὸν μὲν ἐπιβαλλόμενον
ὁδοιπορεῖν ἐφ' ἵππον τὸ παράπαν οὐκ ἀναβαίνειν, ἔφιππον δὲ ἀφ' ἵππου* 30
*οὐδαμοῦ καταβαίνειν, μηδενί τε ὄμβρῳ, μηδενὶ ψύχει προσάγεσθαι καλύψαι
τὴν κεφαλήν· ξηρότητά τε αὐτῷ σώματος εἶναι πλείστην· διὸ καὶ πάντων
δὴ τῶν τε εἰς βασιλέα καθηκόντων καὶ τῶν περὶ λειτουργίας προστεταγ-*

1 *παρ'*] *περὶ* **U** || 2 *βουλοίμην* om. **R** | *μὲν* **CFG** *μὴν* **U** om. cett. || 6 *κατεμαχόμην*] *κατεχόμην* **GO** | *αἰμυλίου* **MV** *ἀττιλίου* **R** Edd. (praeter Hess) || 7 *ἡμεῖς* **P** || 11–12 *ἀλλ' – εἶναι* om. **U** || 12 *εἶναι*[1] om. **R** | *ἀμέλλει* **LvP** || 13–14 *ἀλλ' – ὑμῶν* om. **BLLvP** || 14 *οὐδ'* om. **MV** (in mg. add. **M**) | *τίτου τοῦ* **Ma** | *τοῦ* om. **MV** || 15 *ἂν* om. **BrFR** Edd. (*ἂν* restituit Hess[1]) | *ἡμῶν* **Brac** Hess (*ὑμῶν* Hess[1]) || 16 *παρέσχε* **BLLvP** || 17 *καὶ* delevi | *ναὶ* om. **U** | *ἐκεῖνος* **LP** Edd. || 18 *μίλω* **U** *μήλων* **LvP** || 19 *τὴν*[1] om. **d** || 20 *ἕλοιο ἂν ἰσχύν σοι δοθῆναι* **M** (sed

Ἴλιον. ἀλλὰ μέτειμι δὴ ἐπὶ τὰ παρ' ἐμαυτοῦ. ἐγὼ γὰρ τέταρτον καὶ 32
ὀγδοηκοστὸν ἔτος διάγων τουτὶ βουλοίμην μὲν ἂν ἔχειν σεμνύνεσθαι
ἐφ' οἷσπερ ὁ Κῦρος· ἔχω μέντοι τοσοῦτον εἰπεῖν, ὡς ἰσχύος μὲν τῆς αὐτῆς
ἔτι οὐκ εἰμί, ἧς ποτε ἦν ἢ στρατιώτης ὢν ἐπὶ τῷ πολέμῳ τῷ Λιβυκῷ ἢ
5 *ταμίας ἐπὶ τῷ αὐτῷ τούτῳ πολέμῳ ἢ ὕπατος ἐν Ἰβηρίᾳ ἢ ὕστερον ἔτει*
τετάρτῳ, ἡνίκα χιλίαρχος ὢν ἀμφὶ Θερμοπύλας κατεμαχησάμην ἐγώ,
Μανίου Ἀκιλίου Γλαβρίωνος ὄντος ὑπάτου· οὐ μὴν σαφῶς με τὸ γῆρας
ἐξενεύρισεν οὐδ' ἐκάκωσεν, ὡς καὶ ὑμεῖς δὴ ὁρᾶτε· οὐδὲν γὰρ τὸ βουλευ-
τήριον ποθεῖ τὴν ἐμὴν ἰσχύν, οὐδὲν τὰ ἔμβολα, οὐδὲν οἱ φίλοι, οὐδὲν οἱ
10 *πελάται, οὐδὲν οἱ ξένοι. οὐδὲ γὰρ πώποτε συγκατεθέμην τῇ παλαιᾷ καὶ*
ἐπαινετῇ παροιμίᾳ, ἣ γέροντα πρωιαίτερον γίγνεσθαι παραινεῖ, εἰ βού-
λοιο ἐπὶ πολὺ γέρων εἶναι. ἀλλ' ἔγωγε ἧττον ἂν ἐπὶ πολὺ γέρων εἶναι
μᾶλλον αἱροίμην ἢ γέρων εἶναι πρὶν εἶναι. ἀτὰρ οὖν οὐδείς με ἔτι καὶ νῦν
ἔσχεν εὑρεῖν μὴ ἄσχολον ὄντα. ἀλλ' ἰσχύος ἔλασσον ἔχω ἢ ὁποτεροσοῦν
15 *ὑμῶν. ἀλλ' οὐδ' ὑμεῖς τὴν Τίτου Ποντίου τοῦ ταξιάρχου ἰσχὺν ἔχετε· μῶν* 33
οὖν διὰ τοῦτ' ἐκεῖνος ὑμῶν ἐξοχώτερος; μόνον ἰσχύος συμμετρία παρέστω,
τοσοῦτον δ', ὅσον ἂν ἕκαστος δυνατὸς ᾖ, ἀγωνιζέσθω· [καὶ] ναὶ δὴ κεῖνος
οὐδὲν κρατηθήσεται πόθῳ μεγάλης ἰσχύος. Μίλων γε μὴν Ὀλυμπίασι
παρελθεῖν εἰς τὸ θέατρον λέγεται βοῦν ζῶον ἀνέχων τοῖς ὤμοις. πότερον
20 *οὖν τὴν περὶ τὸ σῶμα ταύτην ἢ τὴν τῆς Πυθαγόρου ἀγχινοίας ἰσχὺν ἂν*
ἕλοιο δοθῆναί σοι; ἁπλῶς δὴ τῷ ἀγαθῷ τούτῳ χρῶ μὲν παρόντι, ἀπὸν
δὲ μηδὲν ἐπιζήτει, εἰ μὴ τάχα καὶ ἔφηβοι τέως μὲν τὴν παιδικὴν ἡλικίαν,
σμικρὸν δὲ παραμείψαντες τὴν ἡβητικὴν παραζητεῖν μέλλουσι. δρόμος
ἡλικίας ἐστὶν ὡρισμένος καὶ φύσεως ὁδὸς μία καὶ αὕτη ἁπλῆ, οἰκείαν τε
25 *ὡραιότητα μέρος ἡλικίας ἕκαστον εἴληχεν· ὡς γὰρ ἀσθένεια μέν ἐστι*
παίδων, ἀλκὴ δὲ νεανίσκων, σεμνότης δ' ἤδη εὐσταθοῦς ἡλικίας, οὕτως
ἄρα καὶ ἡ τοῦ γήρως πέπανσις ἔχει τι κατὰ φύσιν, ὅπερ εἰς καιρὸν οἰκεῖον
προσήκει παραλαμβάνεσθαι. οἶμαί σε ⟨πυνθάνεσθαι⟩, ὦ Σκιπίων, ἅττα 34
Μασσανάσσης ὁ σὸς νομιζόμενος ξένος ποιεῖ τὸ τήμερον, ἐτῶν ἐνενήκοντα
30 *γεγονώς· πεζὸν μὲν ἐπιβαλλόμενον ὁδοιπορεῖν ἐφ' ἵππον τὸ παράπαν οὐκ*
ἀναβαίνειν, ἔφιππον δὲ ἀφ' ἵππου οὐδαμοῦ καταβαίνειν, μηδενί τε ὄμ-
βρῳ, μηδενὶ ψύχει προσάγεσθαι καλύψαι τὴν κεφαλήν· ξηρότητά τε
ἄκραν αὐτῷ σώματος εἶναι· διὸ καὶ πάντων τῶν τε εἰς τὸν βασιλέα καθ-
ηκόντων καὶ τῶν περὶ τὰς λειτουργίας εὖ μάλα διατελεῖν ἐφικνούμενον.

in mg. o. v. cett. redditur) ‖ **24** *ἕκαστος* **BLvMaP** Edd. (praeter Hess) ‖ **27** *ὅπερ* iteravit **R** | *ἀλλ' οὐ* **Ma** ‖ **28** *μασσανάσσης* **LU** *μασανάσης* **C** *μασσανάσης* cett. ‖ **30–31** *ἔφιππον – καταβαίνειν* om. **HM** (sed uterque cod. haec verba in mg. add.) ‖ **32–33** *τε – τῶν*[1] om. **U** ‖ **32** *αὐτῷ* om. **Lv**

10 *πελάτε* **T** | *οὐδὲ*] *οὐδὲν* **T** ‖ **14** *μὴ α με* **T** ‖ **17** *καὶ* delevi ‖ **24** *ὡρισμέρος* **T** ‖ **28** *πυνθάνεσθαι α* | *σκηπίων* **T**

μένων εὖ μάλα διατελεῖν ἀφικνούμενον. δύναται τοίνυν σωφροσύνη καὶ
ἄσκησις ἔτι κἂν τῷ γήρᾳ τι τῆς πρόσθεν ῥώμης διαφυλάττειν.
11 *Οὐκ ἔστι, φησί, τῷ γήρᾳ ἰσχύς. ἀλλ' οὐδ' ἀπαιτεῖται τὸ γῆρας ἰσχύν.*
καὶ νόμοις ἄρα καὶ ἔθεσιν ἡ ἡμετέρα ἡλικία τῶν τοιούτων λειτουργιῶν
ἐστιν ἀτελής, ἃς οὐκ ἔστιν ὑφίστασθαι ἄνευ ἰσχύος· ὥστ' οὐ μόνον ἃ μὴ 5
35 *δυνάμεθα, ἀλλ' οὐδ' ὧν ἐν δυνάμει ἐσμὲν πράσσειν ἀναγκαζόμεθα. ἀλλ'*
εἰσὶ πολλοὶ τῶν γερόντων οὕτως ἀδύνατοι, ὥστε μήτε του τῶν ἐπι-
τηδευομένων μήτε ὅλως τῶν κατὰ τὸν βίον λειτουργουμένων οὑτινοσοῦν
ἂν ἐφικέσθαι. ἀλλὰ τοῦτό γε οὐ γήρως ἰδία κάκη, ἀλλὰ κοινὴ δήπου ἕξεως
ἀνθρωπίνης. ὡς ἀδύνατος καὶ γὰρ ἦν ὁ Ποπλίου Ἀφρικανοῦ υἱός, ὅς σε 10
ποιητὸν ἔθετο, ὡς ἀδρανοῦς, μᾶλλον δὲ μηδεμιᾶς εὐρωστίας ἐκεῖνός γε
μεμοίραται. ὃ δὴ εἰ μὴ οὕτω συνέβαινεν, ἕτερον ἂν φέγγος ἐκεῖνος τῆς
πόλεως ἀνεφάνη· εἰς γὰρ τὸ πατρικὸν μέγεθος τῆς ψυχῆς εὐπορώτερος
ἐκ διδασκαλίας παραγέγονεν οὗτος. τί δὴ θαυμαστὸν ἐπὶ τῶν γερόντων,
ἣν ἀσθενεῖς ὦσιν ἔνιοι, ὁπότ' αὐτὸ μηδὲ νέοι γε ἀποφυγεῖν ἔχουσιν; ἀντι- 15
στατέον γε μήν, ὦ Σκιπίων καὶ Λαίλιε, τῷ γήρᾳ καὶ κολαστέον πρὸς
ἀκρίβειαν τὰς αὐτοῦ κακίας· ὡς γὰρ πρός τινα νόσον, οὕτω καὶ πρὸς τὸ
36 *γῆρας πολεμητέον. λόγον ὑγιείας ἑκτέον· γυμνασίοις συμμέτροις χρη-*
στέον· τοσοῦτον βρώσεως καὶ πόσεως παρεκτέον, ὁπόσον τὴν ἰσχὺν
ἀναλαμβάνειν, ἀλλὰ μὴ συμπιέζειν. μηδὲ δὴ μόνον τῷ σώματι συλληπτέον, 20
ἀλλὰ καὶ τῷ νῷ καὶ τῇ ψυχῇ πολλῷ μᾶλλον· καὶ ταῦτα γάρ, εἰ μὴ καθάπερ
φωτὶ ἔλαιον ἐπιστάζοις, ἀποσβέννυται ὑπὸ γήρως. καὶ σώματα μὲν γυμνα-
σιῶν καμάτοις βαρύνεται, ψυχαὶ δὲ γυμναζόμεναι αἴρονται. γέροντας γὰρ
εὐήθεις Καικίλιος ὁ κωμικὸς λέγων τοὺς ταχυπειθεῖς τούτους καὶ ἐπι-
λήσμονας καὶ παραλελυμένους δηλοῖ, ἅπερ οὐ γήρως ἁπλῶς οὕτω κακίαι, 25
ἀλλ' ἀπράκτου καὶ νωθροῦ καὶ ὑπνηλοῦ γήρως εἰσίν. ὡς γὰρ τὸ ἀσελγὲς
καὶ ἀκόλαστον νεανίσκων μᾶλλον ἤπερ γερόντων ἐστίν, οὐ μέντοι ἁπάντων
τῶν νεανίσκων, ἀλλὰ τῶν μοχθηρῶν τὸν τρόπον, οὕτω καὶ ἡ πρεσβυτικὴ
αὕτη μωρία, ἣν λῆρον ἔθος προσαγορεύειν, γερόντων κουφολόγων, οὐχ
37 *ἁπάντων ἐστίν. τέτταρας οὖν υἱεῖς ῥωμαλέους καὶ θυγατέρας πέντε οἶκόν* 30
τε τηλικοῦτον καὶ πελατείας τοιαύτας Ἄππιος διῳκεῖτο γέρων τε ὢν καὶ
τυφλός· εἶχε καὶ γὰρ τὴν ψυχὴν ὥσπερ τόξον ἐντεταμένην, οὐδέ τι χαλῶν
τῷ γήρᾳ ὑπέπιπτεν. οὐ μόνον γὰρ ἦν εἰκὸς αὐθεντείαν, ἀλλὰ δὴ καὶ

1 *εὖ — ἀφικνούμενον* om. **R** | *ἀφικούμενον* **U** || 2—3 *τῆς — γήρᾳ* om. **BLLvP** | *ῥώμην* Edd. (praeter Hess) || 6 *ἀλλ' — ἀναγκαζόμεθα* om. **H** (sed in mg. add.) || 8 *μήτ'* **d** || 9 *ἀλλ' οὐ* **Ma** || 11 *δὴ μιᾶς* **O** | *κεῖνος* **CFGMOQU** Edd. (praeter Hess) || 12 *μεμοίρατε* **U** || 13 *τὸ* om. **MV** | *εὐπορώτερον* **BrG** *ἐκπορώτερον* **BP** || 14 *δὴ* om. **R** Edd. || 15 *ὁπότε μήδ' αὐτὸ* **Ma** | *ἔχουσιν*] *δύνανται* (sed supra legitur *ἔχουσι*) **Ma** | *ἀντίστεον* **BLvP** *ἐπιστατέον* **Ma** || 16 *λέλιε* (αι *supra*) **B** || 17 *τὰς*] *τῆς* **O** | *καὶ*] *δὲ* **Ma** || 18 *μετρίοις* **R** || 19 *ὁπόσον* **H Ma O Q** Hess *ὁπόσα* cett., Edd. || 20 *ἀλλὰ*] *ἀλλὰ καὶ* **R**

δύναται τοίνυν σωφροσύνη καὶ ἄσκησις ἔτι κἂν τῷ γήρᾳ τι τῆς πρόσθεν
ῥώμης διαφυλάξαι.
Οὐκ ἔστι, φησίν, ἐν τῷ γήρᾳ ἰσχύς. ἀλλ' οὐδέ τι τὸ γῆρας ἰσχὺν ἀπαιτεῖ- 11
ται. καὶ νόμοις ἄρα καὶ θεσμοῖς ἡ ἡμετέρα ἡλικία τῶν τοιούτων λειτουρ-
5 *γιῶν ἐστιν ἀτελής, ἃς οὐκ ἔστιν ὑφίστασθαι ἄνευ ἰσχύος· ὥστ' οὐ μόνον*
ἃ μὴ δυνάμεθα, ἀλλ' οὐδ' ὧν ἐν δυνάμει ἐσμὲν πράττειν ἀναγκαζόμεθα.
ἀλλ' εἰσὶ πολλοὶ τῶν γερόντων οὕτως ἀδύνατοι, ὥστε μήτε του τῶν ἐπι- 35
τηδευομένων μήθ' ὅλως τῶν κατὰ τὸν βίον λειτουργουμένων οὑτινοσοῦν
ἂν ἐφικέσθαι. ἀλλὰ τοῦτό γε οὐ γήρως ἰδία κάκη, ἀλλὰ κοινὴ δήπου
10 *ἕξεως ἀνθρωπίνης. ὡς ἀδύνατος καὶ γὰρ ἦν ὁ Ποπλίου Ἀφρικανοῦ υἱός,*
ὅς σε ποιητὸν ἔθετο, ὡς ἀδρανοῦς, μᾶλλον δὲ μηδεμιᾶς εὐρωστίας μεμοίρα-
ται. ὃ δὴ εἰ μὴ οὕτω συνέβη, ἕτερον ἂν φέγγος ἐκεῖνος ἀνεφάνη τῆς πόλεως·
εἰς γὰρ τὸ πατρικὸν μέγεθος τῆς ψυχῆς εὐπορώτερος ἐκ διδαχῆς παραγέ-
γονεν οὗτος. τί δὴ θαυμαστὸν ἐπὶ τῶν γερόντων, ἣν ἀσθενεῖς ὦσιν ἔνιοι,
15 *ὁπότ' αὐτὸ μηδὲ νέοι ἀποφυγεῖν ἔχουσιν; ἀντιστατέον, ὦ Σκιπίων καὶ*
Λαίλιε, ⟨τῷ γήρᾳ⟩ καὶ κατὰ ἀκρίβειαν τὰς αὐτοῦ κακίας συναιρετέον·
ὡς γὰρ πρός τινα νόσον, οὕτω καὶ πρὸς γῆρας πολεμητέον. λόγον ὑγιείας 36
ἑκτέον· γυμνασίοις συμμέτροις χρηστέον· τοσοῦτον βρώσεως καὶ πόσεως
παρεκτέον, ὁπόσα τὴν ἰσχὺν ἀναλαμβάνειν, οὐ συμπιέζειν. μηδὲ δὴ μόνον
20 *τῷ σώματι συλληπτέον, ἀλλὰ καὶ τῷ νῷ καὶ τῇ ψυχῇ πολὺ μᾶλλον· καὶ*
ταῦτα γάρ, εἰ μὴ καθάπερ φωτὶ ἔλαιον ἐπιστάζοις, ἀποσβέννυται ὑπὸ
γήρως. καὶ σώματα μὲν γυμνασιῶν καμάτοις βαρύνεται, ψυχαὶ δὲ γυμνα-
ζόμεναι αἴρονται. γέροντας γὰρ εὐήθεις Καικίλιος ὁ κωμικὸς λέγων τοὺς
ταχυπειθεῖς τούτους δηλοῖ καὶ ἐπιλήσμονας καὶ παραλελυμένους, ἅπερ οὐ
25 *γήρως ἁπλῶς οὕτω κακίαι, ἀλλ' ἀπράκτου καὶ νωθροῦ καὶ ὑπνηλοῦ γή-*
ρως εἰσίν. ὡς γὰρ τὸ ἀσελγὲς καὶ ἀκόλαστον νεανίσκων μᾶλλον ἢ γερόντων
ἐστίν, οὐ μέντοι πάντων τῶν νεανίσκων, ἀλλὰ τῶν μὴ δοκίμων, οὕτω καὶ
ἡ πρεσβυτικὴ αὕτη μωρία, ἣν λῆρον ἔθος προσαγορεύειν, γερόντων κου-
φολόγων, οὐχ ἁπάντων ἐστί. τέτταρας οὖν υἱεῖς ῥωμαλέους καὶ θυγα- 37
30 *τέρας πέντε οἶκόν τε τηλικοῦτον διεῖπε ⟨Ἄππιος⟩ καὶ πελατείας τοιαύτας*
γέρων τε ὢν καὶ τυφλός· εἶχε καὶ γὰρ τὴν ψυχὴν ὥσπερ τόξον ἐντε-
ταμένην, οὐδέ τι χαλῶν τῷ γήρᾳ ὑπέπιπτεν. οὐ μόνον γὰρ ἦν εἰκὸς αὐθεν-

Edd. | *συμποσιάζειν* **Ma** || **21** *γὰρ ταῦτα* **O** || **22** *ἐπιστάζεις* **BBrMaP** *ἐπιστάζεις*[οι] **LU** | *ἀπὸ* **BLLvP** | *μὲν γὰρ* **Ma** || **23** *γυναζόμεναι* **U** || **24** *κεκίλιος* **CU** Goez | *ταχυπεισθεῖς* **U** || **25** *κακίαις* **B** || **27** *ἤπερ*] *ἢ* **CR** || **28** *τῶν*[2]] *ὧν* **G** || **29** *κλῆρον* **COQU** (in mg. *λῆρον* **C**) | *καὶ κουφολόγων* **BL** (*καὶ* expunxit **L**) || **30** *ἐστί* **BrCH** | *τέτταρας*] *ὡς γὰρ τέτταρας* **Ma** || **32** *καὶ* om. **Ma** | *γὰρ καὶ* **GR** | *ἐντεταμένον* Edd. (praeter Hess) | *οὐδέ τι* **BF** *οὐδέν τι* **BrCOR** Edd. *οὐδέτι* cett. || **33** *ὑπέπιπτον* **CU** | *αὐθεντίαν* **FLvMa** Hess

3 *ἔστιν* **T** || **8** *μήτ'* **T** || **11** *ἀδανοῦς* **T** || **13** *διαδοχῆς* **T** || **15** *αὐτὸ* α *αν* **T** | *σκη-πίων* **T** || **16** *τῷ γήρᾳ* α || **23** *αἴροντε* **T** || **24** *ἐπιλίσμονας* **T** || **30** *Ἄππιος* α

ἡγεμονίαν τινὰ εἰς τοὺς ἑαυτοῦ διεσῴζετο· ἐδεδίεσαν οἱ δοῦλοι, κατῃδοῦντο τὰ τέκνα, ἀγαπητὸν σύμπαντες εἶχον· ἤκμαζεν ἐν αὐτῷ τῷ οἴκῳ τὸ πάτρι-
38 *ον σχῆμα καὶ μάθημα. οὕτω καὶ γὰρ εὐσχημόνως ἔχει τὸ γῆρας, εἰ αὐτὸ προστατεῖ ἑαυτοῦ, εἰ τῶν οἰκείων δικαίων ἀντέχεται, εἰ μηδενὶ ἠνδραπόδισται, εἰ εἰς ἐσχάτην ἀναπνοὴν κύριον τῶν σφετέρων διατελεῖ. ὡς γὰρ νεανίσ-* 5
κον, ἐν ᾧ τι πρεσβυτικόν ἐστιν, ὡς καὶ γέροντα, ἐν ᾧ τι νεανικόν, ἐπαινῶ· ὃ δὴ μετιών τις σώματι μὲν γέρων ἂν εἴη, ψυχῇ δὲ οὐ μήποτε ᾖ. ἀτὰρ οὖν ἐμοὶ μετὰ χεῖρας βιβλίον ἕβδομον Ἀρχαιολογίας· τὰ τῶν παλαιῶν πάντα ὑπομνήματα συλλέγω, τῶν ἐπιφανεστέρων δικῶν, ὧν ποτε συνηγόρησα, τοὺς λόγους νῦν μάλιστα ἐπιτελῶ· νόμιμα οἰωνιστῶν καὶ ἀρχιερέων καὶ 10
πολιτῶν δὴ συντάττομαι· Πυθαγορείων ἔθει τῆς περὶ τὴν μνήμην ἀσκήσεως χάριν, ἅπερ ἀν᾽ ἡμέραν ἑκάστην ἢ εἴπω ἢ ἀκούσω ἢ πράξω, ἑσπέρας ἀναπολῶ. ταῦτά ἐστιν ἀσκήματα ἀγχινοίας, ταῦτα στάδια νοῦ· ἐν τούτοις ἱδρῶν ἐγὼ καὶ διαπονούμενος οὐ πάνυ τι ἐπιποθῶ τὴν περὶ τὸ σῶμα ἰσχύν. παρίσταμαι φίλοις, ἔρχομαι εἰς τὴν βουλὴν συνεχῶς, πράγματα εἰσφέρω 15
ἑκὼν εἶναι πολύ τοι καὶ διὰ πολλοῦ μεμελετημένα, ψυχῆς τε ἰσχύι, οὐ σώματος ταῦτα διαφυλάσσω. ὧν εἰ καὶ ἔργῳ ἐφικνεῖσθαι μὴ οἷός τε ἦν, ἀλλά μου τό γε κλινάριον εὔφραινεν ἄν με αὐτὰ διαλογιζόμενον ταῦτα, ἃ πράσσειν μὲν δύνασθαι οὐκ εἰκός, δύνασθαι δέ με πεποίηκεν ὁ παρεληλυθὼς οὕτω βίος. ἀεὶ γὰρ τῷ περὶ πόνους τοιούτους καὶ σπουδὰς βιοτεύοντι 20
οὐκ ἔστιν ἰδεῖν, ὁπότε ὑπέλθοι τὸ γῆρας· οὕτως ἠρέμα καὶ ἀνεπαισθήτως ἡ ἡλικία γηράσκει οὐδέ τι ἐξαίφνης κατάγνυται, ἀλλὰ χρονίως ἀποσβέννυται.

12
39 *Ἐχόμενον δὴ τῶν εἰρημένων ἡ τρίτη βλασφημία τοῦ γήρως, ἥ φασιν αὐτὸ στέρεσθαι ἡδονῶν. ὢ τοίνυν λαμπροτάτου ἡμῖν ἡλικίας δώρου, εἴ γε* 25
τοῦθ᾽ ἡμῶν ἀφαιρεῖται, ὅπερ τῶν φαυλοτάτων ἐστὶν ἐν νεότητι. λάβετε γάρ, ὦ βέλτιστοι νέοι, λόγον ἀρχαῖον ἀνδρὸς τῶν μεγάλων τε καὶ περιφανῶν εἰς τὰ πρῶτα, Ἀρχύτου Ταραντίνου, ὅς μοι ἐγκεχείριστο νεανίσκῳ ἐν Τάραντι διατρίβοντι ἅμα Κυίντῳ Μαξίμῳ. οὐδένα γάρ τοι λοιμὸν ἔφασκεν ἀνθρώποις δεδόσθαι ὑπὸ τῆς φύσεως ὀλεθριώτερον ἡδονῆς τῆς 30
διὰ τοῦ σώματος, ἧς ἂν τὸ τῆς ψυχῆς ἐπιθυμητικὸν καὶ ἀλόγιστον ἐμ-
40 *φορηθῆναι ἰταμῶς τε καὶ δυσηνίως ὀργῴη τε καὶ κατερεθίζοιτο. ἐντεῦθεν*

1 *τινὰ*] *τι* **BLP** *τὴν* **R** || 2 *ἤκμαζον* **HMMaPV** *ἤκμασεν* (ζ supra σ) **B** || 3 *γὰρ καὶ* **GMaO** || 4 *εἰ*[1] — *ἠνδραπόδισται* om. **MV** || 5 *ἔσχατον* **BBrMP** || 6 *ἐν*[1] — *νεανικόν* om. **U** | *ὡς καὶ γέροντα* om. **F** | *νεανίσκον* **CH** *νεανίσχον* **L** *νεανίσκου* **MV** *νεανικόν ἐστιν* **F** || 8 *βυβλίον* **FO** | *πάντα* om. **O** || 9 *ἐπιφανῶν* **Ma** || 11 *πολιτῶν* **RU** *ἀστῶν* cett. (*πολιτῶν* in mg. add. **C**) | post *συντάττομαι* lacunam indicaverunt **BcP** lacunam complevit **d** (*πολλὰ γράμμασιν Ἑλληνικοῖς χρῶμαι*) *πολλὰ τοῖς Ἑλληνικοῖς λόγοις ἔτι προσχρῶμαι* **β** | *τὴν* om. **U** || 12 *ὅπερ* **CP** Hess || 13 *ταῦτ᾽* **d** || 14 *τι*] *τοι* **G** | *ποθῶ* **MV** | *τὸ σῶμα*] *που γήρως* **MV** || 15 *περίσταμαι* **Rd** || 16 *τοι* **BFGMaOP** Hess *τι* cett., Edd. (*τε* **R**) | *τε* om. **P** || 17 *διαφυλάσσων* **C** Goez Hess (*διαφυλάσσω* Hess[1]) *διαφυλάτ-*

τείαν, ἀλλὰ καὶ ἡγεμονίαν εἰς τοὺς ἑαυτοῦ διεσῴζετο· ἐδεδίεσαν οἱ δοῦλοι,
κατῃδοῦντο οἱ παῖδες, ἀγαπητὸν σύμπαντες εἶχον· ἤκμαζεν ἐν τῷδε τῷ
οἴκῳ τὸ πάτριον ἔθος καὶ μάθημα. οὕτω καὶ γὰρ εὐσχημόνως ἔχει τὸ 38
γῆρας, εἰ αὐτὸ προστατεῖ ἑαυτοῦ, εἰ τῶν οἰκείων δικαίων ἀντέχεται, εἰ
5 *μηδενὶ ἠνδραπόδισται, εἰ εἰς ἐσχάτην ἀναπνοὴν κύριον διατελεῖ τῶν σφε-*
τέρων. ὡς γὰρ νεανίσκον, ἐν ᾧ τι πρεσβυτικόν ἐστιν, ὣς καὶ γέροντα, ἐν
ᾧ τι νεανικόν, ἀποδέχομαι· ὃ δὴ μετιών τις σώματι μὲν γέρων ἂν εἴη,
ψυχῇ δὲ οὐ μήποτε ᾖ. ἀτὰρ ἐμοὶ μετὰ χεῖρας βιβλίον ἕβδομον Ἀρχαιολο-
γίας· τὰ τῶν παλαιῶν ὑπομνήματα πάντα ξυλλέγω, τῶν ἐπιφανεστέρων
10 *δικῶν, ἅς ποτε συνηγόρησα, νῦν τοὺς λόγους ὡς μάλιστ' ἐπιτελῶ· νόμιμα*
οἰωνιστῶν καὶ ἀρχιερέων καὶ πολιτῶν δὴ συντάττομαι· πολλὰ τοῖς
Ἑλληνικοῖς λόγοις ἔτι προσχρῶμαι Πυθαγορείων τε ἔθει τῆς περὶ τὴν
μνήμην ἀσκήσεως χάριν, ἅπερ ἡμέραν ἑκάστην εἴπω ἢ ἀκούσω ἢ πράξω,
ἑσπέρας ἀναπεμπάζω. ταῦτ' ἐστὶν ἀσκήματα ἀγχινοίας, ταῦτα στάδια νοῦ·
15 *ἐν τούτοις ἱδρῶν ἐγὼ καὶ διαπονούμενος τὴν περὶ τὸ σῶμα ἰσχὺν οὐ πάνυ*
ἐπιποθῶ. παρίσταμαι φίλοις, ἔρχομαι συνεχῶς εἰς τὴν σύγκλητον, πράγ-
ματα εἰσφέρω ἑκὼν εἶναι πολύ τοι καὶ διὰ πολλοῦ μεμελετήμενα, ψυχῆς
τε ἰσχύι, οὐ σώματος ταῦτα διαφυλάττω. ὧν εἰ καὶ ἔργῳ ἐφικνεῖσθαι μὴ
οἷός τε ἦν, τό γε μήν μου κλινίδιον εὔφραινεν ἄν με αὐτὰ διαλογιζόμενον
20 *ταῦτα, ἃ πράττειν μὲν δύνασθαι οὐκ εἰκός, δύνασθαι δέ με πεποίηκεν ὁ*
παρεληλυθὼς οὕτω βίος. ἀεὶ γὰρ τῷ περὶ πόνους τοιούτους καὶ σπουδὰς
βιοτεύοντι οὐκ ἔστιν ἰδεῖν, ὁπότε ὑπέλθοι τὸ γῆρας· οὕτως ἠρέμα καὶ
ἀνεπαισθήτως ἡ ἡλικία γηράσκει οὐδ' ἐξαίφνης κατάγνυται, ἀλλὰ χρο-
νίως ἀποσβέννυται.

12

25 *Ἐχόμενον δὴ τῶν εἰρημένων ἡ τρίτη κακηγορία τοῦ γήρως, ἥν φασιν* 39
αὐτὸ στέρεσθαι ἡδονῶν. ὢ τοίνυν λαμπροτάτου ἡλικίας δώρου, εἴ γε
τοῦθ' ἡμῶν ἀφαιρεῖται, ὅπερ τῶν φαυλοτάτων ἐστὶν ἐν νεότητι. λάβετε
γάρ, ὦ βέλτιστοι νέοι, λόγον παλαιὸν Ἀρχύτου Ταραντίνου, ἀνδρὸς τῶν
μεγάλων τε καὶ λαμπρῶν εἰς τὰ πρῶτα, ὅς μοι ἐγκεχείρισται νεανίσκῳ ἐν
30 *Τάραντι διατρίβοντι μετὰ Κοΐντου Μαξίμου. οὐδένα γάρ τοι λοιμὸν ἔφα-*
σκεν ἀνθρώποις δεδόσθαι πρὸς τῆς φύσεως ὀλεθριώτερον ἡδονῆς τῆς
περὶ σώματος, ἧς ἂν τὸ ἐπιθυμοῦν ἐμφορηθῆναι ἰταμῶς τε καὶ δυσηνίως
ὀργῴη τε καὶ κατερεθίζοιτο. ἐντεῦθεν προδοσίας πατρίδων, ἐντεῦθεν 40

των **O** *διαφυλάττω* **Ma** || **19** *ἐπεποίηκεν* **P** | *παραλελυθὼς* **P** || **20** *βιωτεύοντι* **Br C M V** || **22** *ἡ*] *τ' ἡ* **M** || **24** *ἑπόμενον* **R** Edd. (praeter Hess) in mg. *ἑπόμενον* add. **C** *ἐσχόμενον* **Ma** | *δὴ*] *δὲ* **B** | *φησιν* **O** || **26** *λάβεται* **CV** || **27** *ἐπιφανῶν* **R** Edd. || **28** *ἀρχύτου τοῦ* **P** *ἀρχίτου* (in mg. *ἀρχύτου*) **Cde** Goez || **29** *κυΐτῳ* (in mg. *κυΐν-τῳ*) **C** || **30** *ὑπὸ* – *φύσεως* om. **R** || **31** *χυχῆς* (in mg. *ψυχῆς*) **C** || **32** *δυσενιάτως* **Ma** | *ὀργώνη* **CU** Edd. (praeter Hess)

5 *ἠνδαποδίσθαι* **T** || **14** *ἀναπολῶ* supra *ἀναπεμπάζω* add. **T** || **15** *διαπορούμενος* **T** || **21** *παρεληλυθὸς* **T** || **27** *νεότητη* **T**

προδοσίας πατρίδων, ἐντεῦθεν πολιτειῶν ἀνατροπάς, ἐντεῦθεν λαθρίας
πρὸς πολεμίους ἀναφύεσθαι συνουσίας· ἁπλῶς τε μηδὲν ἄγος μηδέ τινα
κακουργίαν εἶναι, ἥντιν᾽ οὐκ ἂν ἡ τῆς ἡδονῆς ἐπιθυμία προσδέξασθαι
συνωθήσειε· διακορήσεις δὲ καὶ μοιχείας καὶ σύμπασαν ὕβριν τοιαύτην
μὴ ἂν ἄλλαις ἴυγξιν ἀλλ᾽ ἢ ἡδοναῖς παροξύνεσθαι. ἀνθρώπῳ δὲ δὴ μηδὲν 5
ἐξοχώτερον νοῦ εἴτ᾽ ἐκ φύσεως εἴτ᾽ ἔκ του θεῶν δοθέντος, τούτῳ δὲ τῷ
41 *θείῳ δώρῳ τε καὶ χαρίσματι μηδὲν οὕτως ἐναντίον εἶναι ὡς ἡδονήν. μὴ*
γὰρ ἂν ἀκολασίας κρατούσης σωφροσύνῃ χώραν ὑπάρχειν, μήθ᾽ ὅλως ἐν
ἡδονῆς βασιλείᾳ δύνασθαι ἀρετὴν συσταθῆναι. ὃ δὴ ἵνα καὶ μᾶλλον εἴη
μαθεῖν, πλάττειν ἐκέλευε τῇ διανοίᾳ κατηρεθισμένον τινὰ σώματος ἡδονῇ 10
τοσαύτῃ, ὁπόσην ἂν δύνηται πλείστην χωρῆσαι· οὐδενὶ γὰρ ἀμφίδοξον
ᾤετ᾽ ἂν εἶναι, εἰ μὴ ἐν ᾧ σφόδρα γέγηθεν οὕτω χρονίως, μηδὲν διαπράσ-
σεσθαι νῷ, μηδενὸς λόγῳ, μηδενὸς λογισμῷ ἐπιτυγχάνειν ἱκανὸς εἴη. διὸ
καὶ μηδὲν οὕτω βδελυρόν μηδ᾽ οὕτω θανατηφόρον εἶναι ὡς ἡδονήν, εἴ
γ᾽ αὕτη μείζων τε οὖσα καὶ χρονιωτέρα πᾶν τὸ φῶς τῆς ψυχῆς ἀποσβέν- 15
νυσι. ταῦτα μετὰ Γαΐου Ποντίου τοῦ πατρός, ὑφ᾽ οὗ τῷ Καυδηνῷ πο-
λέμῳ Σπύριος Ποστούμιος καὶ Τίτος Βετέριος ὑπατεύοντες ἥττηνται,
διαλεχθῆναι τὸν Ἀρχύταν Νέαρχος Ταραντῖνος ξένος ἡμέτερος, ὃς αἰεὶ
φίλος τῷ δήμῳ τῶν Ῥωμαίων διέμεινε, παρὰ τῶν πρεσβυτέρων ἔλεγεν
εἰληφέναι, ἡνίκα δὴ τῷ λόγῳ τούτῳ παρεγένετο καὶ Πλάτων ὁ Ἀθηναῖος, 20
ὃν εἰς Τάραντα ἀφικέσθαι Λευκίου Αἰμυλίου καὶ Ἀππίου Κλαυδίου ὑπα-
42 *τευόντων εὑρίσκω. τοῦ δ᾽ ἕνεκα ταῦτα; ἵν᾽ εἰδῆτε, ὡς, εἰ μὴ παρ᾽ οὐδὲν*
τίθεσθαι τὴν ἡδονὴν λόγῳ τε δυνάμεθα καὶ σοφίᾳ, χάριν πολλὴν ἄξιον
ἔχειν τῷ γήρᾳ ὡς μὴ προσφιλῆ τὰ μὴ δέοντα ἀπεργαζομένῳ. εὐβουλίᾳ
γὰρ ἐμποδὼν γίνεται ἡδονή, λόγῳ τε πολεμία ἐστί, καὶ τὰ τοῦ νοῦ, ὡς 25
ἔπος εἰπεῖν, καταστρεβλοῖ ὄμματα, οὐδέ τι πρὸς ἀρετὴν συνάλλαγμα
ἔχει. ἐγὼ δὲ ἄκων μὲν διεπραξάμην ἐκβαλεῖν τῆς συγκλήτου Λεύκιον
Φλαμίνιον, ἀδελφὸν Τίτου Φλαμινίου γενναιοτάτου ἀνδρός, ἑπτὰ μάλιστα
ἔτεσι μετὰ τὴν αὐτοῦ ὑπατείαν, χρῆναι μέντοι πάθος ἀκόλαστον ἀτι-
μάσαι ᾠήθην. ἐκεῖνος γὰρ ὕπατος ὢν ἐν Γαλατίᾳ παρακέκληται πρὸς τῆς 30
ἐρωμένης ἐν συμποσίῳ διαπελεκίσαι τινὰ τῶν ἐν δεσμοῖς κατακρίτων
ἐπὶ θανάτῳ· καὶ τότε μὲν δὴ ἐξώλισθε, τιμητοῦ ὄντος τοῦ ἀδελφοῦ
ἐγγύτατα πρὸ ἐμοῦ αἱρεθέντος, ἐμοὶ δὲ καὶ Φλάκκῳ οὐδεπώποτ᾽ ἐγένετο

1 *λαθραίας* Edd. || 4 *συνωθήσειεν* **CGQRU** Edd. (praeter Hess) || 5 *ἢ* om. **P** | supra *ἡδοναῖς* add. *τῆς ἡδονῆς* **Lv** | *δὴ* om. **MaP** || 6 *νοῦ*] *μοῦ* **C** | *του*] *τῶν* **R** | *θεοῦ* **GMaO** || 8 *ἂν* om. **MaO** || 9 *σταθῆναι* **V** || 10 *ἐκέλευσε* **U** || 11 *πλείστην — ἀμφίδοξον* om. **U** || 13 *λόγῳ*] *νῷ* **R** || 14 *μηδὲ* **GR** Edd. (*μηδ᾽* Hess[1]) || 14. 15 *εἴγε* **GR** Edd. || 15 *ἀποσβέννυται̣σι* **M** || 16 *τοῦ* om. **C** | *κανδηνῷ* **BrLvPUV** || 17 *σπόριος* **L** Hess *πύριος* **B** | *βετούριος* **R** Hess || 18 *ἀεὶ* **U** Edd. || 19 *τῷ ἡμετέρῳ δ.* **R** || 21 *τάραντον* **LvP** || 23 *δυναμώμεθα* **BLv** *δυναμῴμεθα* **LP** *δυναίμεθα* **G** | *σοφίαν* **B**

πολιτειῶν ἀνατροπάς, ἐντεῦθεν λαθρίας πρὸς πολεμίους ἀναφύεσθαι
ξυνουσίας· ἁπλῶς τε μηδὲν ἄγος μηδέ τινα κακουργίαν εἶναι, ἥντιν' οὐκ
ἂν ἡ τῆς ἡδονῆς ἐπιθυμία προσδέξασθαι συνωθήσειε· διακορήσεις δὲ
⟨καὶ⟩ μοιχείας καὶ ξύμπασαν ὕβριν τοιαύτην μὴ ἂν ἄλλαις ἴυγξιν ἀλλ' ἢ
5 ἡδοναῖς παροξύνεσθαι. ἀνθρώπῳ δὲ μηδὲν ἐξοχώτερον νοῦ εἴτ' ἐκ φύσεως
εἴτ' ἐκ τῶν θεῶν δοθέντος, τούτῳ δὲ τῷ θείῳ δώρῳ τε καὶ χαρίσματι μη-
δὲν οὕτως ἐναντίον εἶναι ὡς ἡδονήν. μὴ γὰρ ἂν ἀκολασίας κρατούσης 41
σωφροσύνῃ χώραν ὑπάρχειν, μήθ' ὅλως ἐν ἡδονῆς βασιλείᾳ δύνασθαι ἀρε-
τὴν ξυσταθῆναι. ὃ δὴ ἵνα καὶ μᾶλλον εἴη μαθεῖν, πλάττειν ἐκέλευε τῇ
10 διανοίᾳ κατηρεθισμένον τινὰ σώματος ἡδονῇ τοσαύτῃ, ὁπόσην ἂν δύναιτο
χωρῆσαι μεγίστην· οὐδενὶ γὰρ ἀμφίβολον ᾤετ' ἂν εἶναι, εἰ μὴ ἐν ᾧ σφόδρα
γέγηθεν οὕτω χρονίως, μηδὲν διαπράττεσθαι νῷ, μηδενὸς ⟨λόγῳ⟩, μη-
δενὸς λογισμῷ ἐπιτυγχάνειν ἱκανὸς εἴη. διὸ καὶ μηδὲν οὕτω βδελυρὸν
μηδ' οὕτω θανατηφόρον εἶναι ὡς ἡδονήν, εἴ γ' αὕτη μείζων τε οὖσα καὶ
15 μακροτέρα πᾶν τὸ φῶς τῆς ψυχῆς ἀποσβέννυσι. ταῦτα μετὰ Γαΐου Πον-
τίου τοῦ πατρός, ὑφ' οὗ τῷ Καυδηνῷ πολέμῳ Σπόριος Ποστούμιος καὶ
Τίτος Οὐετέριος ὑπατεύοντες ἥττηνται, διαλεχθῆναι τὸν Ἀρχύταν Νέαρ-
χος Ταραντῖνος ξένος ἡμέτερος, ὃς αἰεὶ φίλος τῷ δήμῳ τῶν Ῥωμαίων
διέμεινε, παρὰ τῶν πρεσβυτέρων ἔλεγεν εἰληφέναι, ἡνίκα δὴ τῷ λόγῳ τού-
20 τῳ παρεγένετο καὶ Πλάτων ὁ Ἀθηναῖος, ὃν εἰς Τάραντα ἀφικέσθαι Λευκίου
Αἰμυλίου καὶ Ἀππίου Κλαυδίου ὑπατευόντων εὑρίσκω. τοῦ δὲ ἕνεκα ταῦτα; 42
ἵν' εἰδῆτε, ὡς, εἰ μὴ παρ' οὐδὲν τίθεσθαι τὴν ἡδονὴν λόγῳ τε καὶ σοφίᾳ
δυνάμεθα, χάριν πολλὴν ἄξιον ἔχειν τῷ γήρᾳ ὡς μὴ προσφιλῆ τὰ μὴ δέοντα
ἀπεργαζομένῳ. εὐβουλίᾳ γὰρ ἐμποδὼν γίγνεται ἡδονή, λόγῳ τε πολεμία
25 ἐστί, καὶ τὰ τοῦ νοῦ, ὡς ἔπος εἰπεῖν, καταστρεβλοῖ ὄμματα, οὐδέ τι πρὸς
ἀρετὴν ἔχει συνάλλαγμα. ἐγὼ δὲ ἄκων μὲν διεπραξάμην ἐκβαλεῖν τῆς
συγκλήτου Λεύκιον Φλαμίνιον, ἀδελφὸν Τίτου Φλαμινίου γενναιοτάτου
ἀνδρός, ἑπτὰ μάλιστα ἔτεσι μετὰ τὴν αὐτοῦ ὑπατείαν, χρῆναι μέντοι
φιληδονίαν ἀτιμάσαι ᾠήθην. ἐκεῖνος γὰρ ὕπατος ὢν ἐν Γαλατίᾳ παρα-
30 κέκληται ὑπὸ τοῦ ἐρωμένου ἐν συμποσίῳ διαπελεκίσαι τινὰ τῶν ἐν δε-
σμοῖς κατακρίτων ἐπὶ θανάτῳ· καὶ τότε μὲν ὅδ' ἐξώλισθε, τιμητοῦ ὄντος
τοῦ ἀδελφοῦ ἐγγύτατα πρὸ ἐμοῦ αἱρεθέντος, ἐμοὶ δὲ καὶ Φλάκκῳ οὐδε-

σοφία **Lv** || 27 *δὲ* om. **P** | *συνεπραξάμην* **Ma** | *ἐκβάλλων* **C** Hess *ἐκβάλλειν* **FLvM** *ἐκβάλλεῖν* (ω supra) **P** | *λεύβιον* **BBrLP** *λεύβῐον* **HLvM** || 30 *γαλατείᾳ* **MaO** || 30.31 *τῆς ἐρωμένης* **BBrLLvMPVd** Hess *τοῦ ἐρωμένου* cett., Edd. || 31 *ἐν*[1] om. **BLLvMPV** (in mg. add. **LLv**) || 32 *δὴ* om. **BLLvP** | *ἐξόλισθαι* **GMaOU** Goez || 33 *ἐγγυτάτω* **R** Edd.

3 *συνωθείσειε* **T** || 4 *καὶ* **α** || 6 *τούτῳ* **α** *οὕτῳ* **T** || 8 *σωφροσύνην* **T** || 11 *ἀμφίβολω* **T** | *ὤτ* **T** || 12 *γένηθεν* **T** | *λόγῳ* **α** || 26 *συνάλαγμα* **T** || 27 *γεννεοτάτου* **T** || 32 *οὐδεπόποτ'* **T**

*δυνατὴ ἀποδέξασθαι ἀσελγὴς οὕτω καὶ ἐξώλης ἐρωτοληψία, ἣ ἰδιωτικῷ
ὀνείδει ἀδοξίαν τῆς ὅλης ἀνῆπτεν ἡγεμονίας.*

13
43 *Πολλάκις δὲ τῶν πρεσβυτέρων ἐπυθόμην λεγόντων, σφᾶς νέους κομιδῇ
ὄντας ἀκοῦσαι τῶν γεραιτέρων, ὡς Γάιος Φαβρίκιος εἰωθὼς εἴη θαυμά-
ζειν, ὅτι πρεσβευτὴς ὢν παρὰ Πύρρῳ τῷ βασιλεῖ πύθοιτο Κινέου τοῦ* 5
*Θεσσαλοῦ, ὡς Ἀθήνησιν εἴη τις σοφὸς προσποιούμενος εἶναι, φάσκων
πάνθ᾿ ὅσαπερ ἂν ποιῶμεν χρῆναι εἰς ἡδονὴν ἀναφέρειν· ὅπερ ἀκούοντας
αὐτοῦ Μάρκον Κούριον καὶ Τίτον Κορύγκανον ἐπεύχεσθαι εἰωθέναι
Σαυνίτας τε καὶ Πύρρον αὐτὸν ταῦτα πεισθῆναι, ὅπως οἷοι ῥᾷον ἡττᾶσθαι
γένοιντο σφᾶς αὐτοὺς ἡδοναῖς ἐπιδεδωκότες. βεβίωκε δ᾿ ἄρα Μάρκος* 10
*Κούριος κατὰ Πόπλιον Δέκιον τὸν πενταετίᾳ πρὸ τῆς ὑπατείας αὐτοῦ
Κουρίου εἰς ἑκούσιον σφαγὴν ὑπὲρ τῆς πολιτείας ἑαυτὸν δεδωκότα. ᾔδει
δὲ τὸν αὐτὸν καὶ Φαβρίκιος, ᾔδει δὲ καὶ Κορύγκανος· οἳ δὴ τὸ μὲν ἐκ
τοῦ καθ᾿ ἑαυτοὺς βίου, τὸ δ᾿ ἐκ τῆς πράξεως, οὗ λέγω, Ποπλίου Δεκίου
ἔκριναν εἶναί τι φύσει κάλλιστον καὶ λαμπρότατον, ὅπερ ἂν ἐθελουσίως* 15
μαστεύοιτο καὶ ᾧ γ᾿ ἂν περιορωμένης τε καὶ καταφρονουμένης τῆς
44 *ἡδονῆς τῶν βελτίστων ἕκαστος ἕποιτο. τί δὲ ταῦθ᾿ οὕτω συχνὰ περὶ
ἡδονῆς; ὅτι οὐχ ὅσον ψόγος οὐδείς, ἀλλὰ καὶ μέγιστος ἔπαινος γήρως τὸ
μὴ πάνυ τι ποθεῖν τῶν τοιούτων ἡδονῶν μηδεμίαν. ἀπορεῖ, φησίν, εὐωχιῶν
καὶ τραπεζῶν εὐπρεπῶν καὶ κυλίκων συχνῶν. οὐκοῦν καὶ οἰνοφλυγίας* 20
*καὶ ἀπεψίας καὶ ἀγρυπνίας ἀπορεῖ. εἰ δ᾿ ἄρα τι καὶ δοτέον τῇ ἡδονῇ,
ἐπειδὴ τοῖς θωπεύμασιν αὐτῆς οὐκ εὐμαρῶς ἐνιστάμεθα — καὶ Πλάτων
δαιμονίως ‘κακῶν δέλεαρ’ τὴν ἡδονὴν ὀνομάζει ἐκ τοῦ ταύτῃ δηλονότι
ἀνθρώπους ἁλίσκεσθαι ὥσπερ ἰχθύας ἀγκίστρῳ —, κἂν εἰ εὐωχιῶν
ἀσυμμέτρων ἐνδεῶς ἔχει τὸ γῆρας, δύναταί γε ὅμως μετρίοις ἥδεσθαι* 25
*συμποσίοις. Γάιον οὖν Δούιλλον τὸν Μαρτίου, ὃς δὴ στόλῳ πρῶτος Λιβύων
ἐκράτησε, πολλάκις παῖς ὢν γέροντα ἑώρων οἴκαδε ἀναλύοντα μετὰ
δεῖπνον· ἥδετο γὰρ θαμινὰ λαμπάδι τε καὶ αὐλῷ, ἃ πρὸς οὐδὲν παράδειγ-
μα ἰδιώτης ὢν ἑαυτῷ προσειλήφει· τοσοῦτον εἰς αὐτὸν ἐξουσίας παρεῖχεν*
45 *ἡ εὔκλεια. ἀλλὰ τί τὰ παρὰ τῶν ἄλλων ἐγώ; πρὸς ἐμαυτὸν δὴ ἐπανήξω.* 30
*πρῶτα μὲν γὰρ συσσίτους εἶχον αἰεί· συσσίτια δὲ ταμίου ὄντος ἐμοῦ
ἀναδέδεικται, τῶν Ἰδαίων παραλαμβανομένων τελετῶν τῆς Μεγάλης*

2 *ὅλως* **CU** | *ἀνῆπτον* **L** *ἀνῆπτε* **RV** *ἀνῆψε* (in mg. *ἀνῆπτε*) **M** || 4 *γερόντων* **HMV** | *φαβρίβιος* **BBrM** *φαβρίβιος* **HL** *φάβριος* **BrP** *φαβρίσκιος* (in mg. *φαβρίκιος*) **C** || 6 *θεσαλοῦ* **B** *θαλασσοῦ* **U** || 7 *ἂν* om. **P** || 8 *κορούγκανον* **GR** Hess || 9 *σαννίτας* **C** *σαμνίτας* **V** || 10 *γένοιτο* **U** || 11 *πενταετίαν* **BLLv** || 11–12 *αὐτοῦ — πολιτείας* om. **U** || 12 post *ἑαυτὸν* in mg. *ἐν τετάρτῃ ὑπατείᾳ* add. **F** | *ᾔδει*] *ἤδη* **BrCGMaOUa** *ἢ δε* **F** *ἤδῄ* **V** || 13 *ἤδη* **CGa** | *καί*[2] om. **GRU** Hess | *κορούγκανος* **GR** Hess || 13.14 *ἐκ τοῦ* iteravit **L** || 14 *δὲ* **Ma** | *ποπλικίου* **Ma** || 15 *ἔκρινε* **V** || 17 *οὕτως* **B** || 18 supra *ὅσον* add. *μόνον* **P** || 19 *τι*] *τοι* **Ma** | *φησί* **C** *φύσει* **BLLvP** ||

πώποτ᾽ ἐγένετο δυνατὴ ἀποδέξασθαι οὕτως ἀσελγὴς καὶ οὕτως ἐξώλης ἐρωτοληψία, ἢ ἰδιωτικῷ ὀνείδει ἀδοξίαν τῆς ὅλης ἡγεμονίας προσῆπτε.

13 43 *Πολλάκις δὲ τῶν πρεσβυτέρων ἐπυθόμην λεγόντων, σφᾶς νέους κομιδῇ ὄντας ἀκοῦσαι παρὰ τῶν γεραιτέρων, ὡς Γάιος Φαβρίκιος εἰώθει* 5 *θαυμάζειν, ὅτι πρεσβευτὴς ὢν παρὰ Πύρρῳ τῷ βασιλεῖ πύθοιτο παρὰ Κινέου τοῦ Θεσσαλοῦ, ὡς Ἀθήνησιν εἴη τις σοφὸς προσποιούμενος εἶναι, φάσκων πάνθ᾽ ὅσαπερ ἂν ποιῶμεν χρῆναι εἰς ἡδονὴν ἀναφέρειν· ὅπερ ἀκούοντας αὐτοῦ Μάρκον Κούριον καὶ Τίτον Κορύγκανον ἐπεύχεσθαι εἰωθέναι Σαννίτας τε καὶ Πύρρον αὐτὸν ταῦτα πεισθῆναι, ὅπως οἷοι* 10 *ῥᾷον ἡττᾶσθαι γένωνται σφᾶς αὐτοὺς ἡδοναῖς ἐπιδεδωκότες. βεβίωκε Μάρκος Κούριος δ᾽ ἄρα κατὰ Πόπλιον Δέκιον τὸν πενταετίᾳ πρὸ τῆς ὑπατείας εἰς ἑκούσιον σφαγὴν ὑπὲρ τῆς πολιτείας ἑαυτὸν ἐπιδεδωκότα. ᾔδει δὲ τὸν αὐτὸν τοῦτον καὶ Φαβρίκιος, ᾔδει δὲ καὶ Κορύγκανος· οἳ δὴ τὸ μὲν ἐκ τοῦ καθ᾽ ἑαυτοὺς βίου, τὸ δ᾽ ἐκ τῆς πράξεως, οὗ λέγω, Ποπλίου* 15 *Δεκίου ἔκριναν εἶναί τι φύσει καλὸν καὶ ὑπέρλαμπρον, ὅπερ ἐθελουσίως ζητοῖτο ἂν καὶ ᾧ περιορωμένης τε καὶ καταφρονουμένης τῆς ἡδονῆς ἕκαστος ἂν τῶν βελτίστων ἕποιτο.* 44 *πρὸς τί δὲ ταῦθ᾽ ⟨οὕτω⟩ συχνὰ περὶ ἡδονῆς; ὅτι οὐχ ὅσον ψόγος οὐδείς, ἀλλὰ καὶ μέγιστος ἔπαινός ἐστι γήρως τὸ μηδέν τι μεγάλως ποθεῖν τῶν τοιούτων ἡδονῶν μηδεμίαν. ἀπορεῖ,* 20 *φησίν, εὐωχιῶν καὶ τραπεζῶν εὐπρεπῶν καὶ κυλίκων συχνῶν. οὐκοῦν καὶ οἰνοφλυγίας καὶ ἀπεψίας καὶ ἀγρυπνίας ἀπορεῖ. εἰ δ᾽ ἄρα τι καὶ δοτέον ἡδονῇ, ἐπειδὴ τοῖς θωπεύμασιν αὐτῆς οὐκ εὐμαρῶς ἐνιστάμεθα — καὶ Πλάτων δαιμονίως ‘κακῶν δέλεαρ’ τὴν ἡδονὴν ὀνομάζει ἐκ τοῦ ταύτῃ δηλονότι ἀνθρώπους ἁλίσκεσθαι ὥσπερ ἰχθύας ἀγκίστρῳ —, κἂν εἰ εὐω-* 25 *χιῶν ἀσυμμέτρων ἐνδεῶς ⟨ἔχει⟩ τὸ γῆρας, δύναταί γε μετρίοις ἐφήδεσθαι συμποσίοις. Γάιον οὖν Δούιλλον τὸν Μαρτίου, ὃς στόλῳ πρῶτος νενίκηκε Λίβυας, πολλάκις παῖς ὢν γέροντα ἑώρων ἀναλύοντα μετὰ δεῖπνον· ἥδετο γὰρ θαμινὰ λαμπάδι καὶ αὐλητῇ, ἃ πρὸς οὐδὲν παράδειγμα ἰδιώτης ὢν ἑαυτῷ προσειλήφει· τοσοῦτον εἰς αὐτὸν ἐξουσίας παρεῖχεν ἡ εὔκλεια.* 30 *ἀλλὰ τί τὰ παρὰ τῶν ἄλλων ἐγώ; πρὸς ἐμαυτὸν δὴ ἐπανήξω.* 45 *πρῶτα μὲν γὰρ συσσίτους εἶχον ἀεί· συσσίτια δὲ ταμίου ὄντος ἐμοῦ καταδέδεικται,*

20 *εὐπρεπῶν* **CFGU** Edd. *εὐτρεπῶν* cett. | *κιλίκων* **MaU** || **21** *τι*] *τε* **CU** (in mg. add. *τι* **C**) || **22** *οὐ* **U** || **23** *δαίμονι* **CGMaU** (in mg. add. *δαιμονίως* **C**) *δαιμονίος* **V** || **24** *εὐωχειῶν* **O** || **25** *ἔχει* **BLLvP** *ἔχοι* cett., Edd. (*ἔχει* **C**) | *γε*] *δ᾽* **B** | *ὅμως* **BGLvOP** om. cett. (in mg. add. **BrHL**) Edd. (praeter Hess) || **26** *δυίλον* **Ma** *δυίλλιον* **d** || **26–27** *λιβύων ἐπεκράτησε πρῶτος* **BLLvP** (*Λ. ἐκράτησε π.* Hess) *π. λ. στόλῳ ἐκράτησε* **Br** || **28** *ἤγετο* **V** | *θαμιὰ* **CLU** (in mg. *θαμινὰ* **C**) | *λαμπάσι* Edd. (praeter Hess) || **31** *ἀεί* **R** Goez Hess | *δὲ* om. **P** || **32** *ἀναδείκται* **R** *ἀναδέδει* **B** | *τῶν* om. **MaO**

9 *σαννίτας* **T** || **17** *οὔτω* **α** || **20** *εὐτρεπῶν* **T** || **25** *ἔχει* **α** || **26** *μαρτίον* **T** || **31** *συσσίτους* **α** *συσσίτας* **T**

Μητρός. εὐωχούμην οὖν μετὰ συσσίτων πάνυ μετρίως, ἀλλ' ἦν, ὡς ἔοικε,
ζέσις τις ἡλικίας· ἧς προϊούσης πάντα πραότερα τῷ χρόνῳ καθίσταται.
οὐδὲ γὰρ τὴν τῶν συμποσίων αὐτῶν εὐφροσύνην ἡδοναῖς ταῖς περὶ τὸ
σῶμα πλέον ἢ τῷ χορῷ τῶν φίλων καὶ τοῖς λόγοις ἐμέτρουν. καλῶς γὰρ
οἱ ἡμέτεροι πρόγονοι τὴν περὶ τὰς εὐωχίας τῶν φίλων κατάκλισιν, ὅτι 5
περ σύνδεσμον ἔχει βίου, συμβίωσιν ἀπεκάλεσαν, καὶ ἄμεινον ἤπερ
Ἕλληνες, οἳ ταὐτὸ τοῦτο ὁτὲ μὲν συμπόσιον, ὁτὲ δὲ σύνδειπνον ὀνομάζου-
σιν, ὥσθ', ὅπερ ἐνταῦθα ἐλάχιστον, τοῦτο μάλιστα φαίνεσθαι ἀποδεχο-
μένους.

14
46 Ἐγὼ δὲ διὰ τὴν ἀπὸ τῶν λόγων εὐθυμίαν καὶ συμποσίοις ἐπικαίροις 10
ἐνασμενίζω, καὶ οὐ μόνον μεθ' ἡλικιωτῶν ἐμαυτοῦ, οἵ γ' ὀλίγοι δὴ παν-
τάπασιν ὑπολείπονται, ἀλλὰ καὶ μετὰ τῶν ἐν ἡλικίᾳ τῇ ὑμετέρᾳ καὶ
μεθ' ὑμῶν αὐτῶν, χάριν τε ἔχω τῷ γήρᾳ πολλήν, ὃ μοι τὴν μὲν τῶν λό-
γων ἐπιθυμίαν ηὔξηοε, τὴν δὲ τῆς πόσεως καὶ βρώσεως ἀπεμάρανεν.
ὥστ' εἴ τινα καὶ ταῦτα εὐφραίνει — ὡς ἂν μὴ παντάπασι δόξω πόλεμον 15
καταγγείλας τῇ ἡδονῇ, ἧς ἔνεστιν ἴσως μέτρον τι κατὰ φύσιν —, οὐδ' ἐν
αὐταῖς δὴ ταῖς ἡδοναῖς ταύταις αἰσθήσεως τὸ γῆρας δεῖσθαι ὁρῶ. ἐμὲ
γάρ τοι καὶ συμποσιαρχίαι εὐφραίνουσι, πρὸς τῶν προγόνων συντεταγμέ-
ναι, καὶ λόγος, ὃς παρὰ συμποσιάρχου τοῦ μεγίστου εἰς τὸν κώθωνα ἔθει
προγόνων παράγεται, καὶ κύλικες ὡς ἐν τῷ Ξενοφῶντος Συμποσίῳ σμι- 20
κραὶ καὶ ἐπιψεκάζουσαι, ψῦχός τε ἀκμῇ θέρους καὶ αὖ ἐν μέρει ἤτοι ἥλιος
ἢ πῦρ ὥρᾳ χειμερινῇ· ἃ δὴ καὶ ἐν Σαβίνῃ μετιέναι εἴωθ' ἐγώ, συμπόσιόν
τε ἀγρογειτόνων συγκροτῶ καθ' ἑκάστην, καὶ τοῦτο πόρρω νυκτῶν, ᾗ
47 μάλιστα δυνατόν, λόγοις συμπαρατείνομεν διαφόροις. ἀλλ' οὐκ ἔστιν
ἡδονῶν τοσοῦτος οἷον γάργαλος ἐν τοῖς γέρουσι. πείθομαι· ἀλλὰ μὴν οὐδὲ 25
πόθησίς γε· χαλεπὸν δὲ οὐδὲν ὧν ἂν μὴ ποθῇς. εὖ οὖν καὶ Σοφοκλῆς,
ἐρομένου του αὐτὸν ἡλικίᾳ ἤδη κατειργασμένον, εἰ ἔτι χρῷτο ἀφροδισίοις,
'εὐφήμει', εἶπεν· 'ἐγὼ γὰρ ἀσμένως αὐτὸ ὥσπερ τινὰ λυττῶντα καὶ ἄγριον
δεσπότην ἀπέφυγον'. τοῖς μὲν γὰρ ἐρωτικῶς ἔχουσι τῶν τοιούτων μιση-
τὸν ἴσως τὸ δεῖσθαι καὶ χαλεπόν· διακόροις δὲ καὶ καταπλέως τοῦ ἀπο- 30
λαύειν τὸ δεῖσθαι ἥδιον. καίτοι γε οὐδὲ δεῖται, ὃς ἂν μὴ ποθῇ· τοιγαροῦν
48 τὸ μὴ ποθεῖν τοῦτό φημι ἥδιον εἶναι. ὥστ' εἰ τούτων αὐτῶν ἀπολαύει τῶν
ἡδονῶν ἥδιον ἡ χρηστὴ ἡλικία, πρῶτον μὲν σμικρῶν τινων, ὡς ἔφαμεν,

1 *ἔοικεν* **BL** || 2 *τις* **BrFGHR** Edd. *τῆς* cett. || 3 *ταῖς* om. **BLLvP** || 5 *κατά-κλησιν* **P** || 6 *περ*] *εἴπερ* **FQU** || 8 *ἐνταῦτα* **BLLvP** || 10 *δὲ* om. **R** Edd. (praeter Hess) || 11–12 *οἵ — ὑπολείπονται* om. **R** Edd. (praeter Hess) || 12 *ἡμετέρα* **BrFL MMaOPQU** (*ἡμετέρα* in mg. **FMaO**, *ὑμετέρα* in mg. **M**) || 13 *μετὰ ὑμῶν* **d** || 14 *βρώ-σεως καὶ πόσεως* **R** Edd. (praeter Hess) || 16 *μέτρον ἴσως* **H** || 17 *δῆσθαι* **V** || 18 *τοι* om. **B** | *πρὸς*] *παρὰ* **d** || 19 *τὸν*] *τὴν* **V** | *κώλωνα* **Ma** || 21 *τε*] *τε ἅμα* **GMa** | *ἤτοι* om. **R** Edd. (praeter Hess) || 22 *μεθιέναι* **G** || 23 *τε*] *δὲ* **LvP** || 24 *λόγοις* om. **Ma** ||

τῶν Ἰδαίων παραλαμβανομένων ἱερῶν τῆς Μεγάλης Μητρός. εὐωχούμην οὖν μετὰ συσσίτων πάνυ μετρίως, ἀλλ᾽ ἦν, ὡς ἔοικε, ζέσις τις ἡλικίας· ἧς προϊούσης πάντα πρᾳότερα τῷ χρόνῳ καθίσταται. οὐδὲ γὰρ τὴν τῶν συμποσίων αὐτῶν εὐφροσύνην ἡδοναῖς ταῖς περὶ τὸ σῶμα πλέον ἢ τῷ 5 *χορῷ τῶν φίλων καὶ τοῖς λόγοις ἐμέτρουν. καλῶς γὰρ οἱ ἡμέτεροι πρόγονοι τὴν ἀμφὶ τὰς εὐωχίας τῶν φίλων κατάκλισιν, ὅτι ξύνδεσμον ἔχει βίου, συμβίωσιν ἀπεκάλεσαν, καὶ ἄμεινον ἤπερ Ἕλληνες, οἳ ταὐτὸ τοῦτο ὁτὲ μὲν συμπόσιον, ὁτὲ δὲ σύνδειπνον ὀνομάζουσιν, ἵν᾽, ὅπερ ἐνταῦθα ἐλάχιστόν ἐστι, τοῦτο μάλιστα ἀποδεχόμενοι φαίνωνται.*

10 *Ἐγὼ δὲ διὰ τὴν ἀπὸ τῶν λόγων εὐθυμίαν καὶ συμποσίοις ἀσμενίζω* 14 46 *ἐπικαίροις, καὶ οὐ μόνον μετ᾽ ἐμῶν ἡλικιωτῶν, οἵ γ᾽ ὀλίγοι παντάπασι περιλείπονται, ἀλλὰ καὶ μετὰ τῶν ἐν ἡλικίᾳ τῇ ὑμετέρᾳ καὶ μεθ᾽ ὑμῶν αὐτῶν, χάριν τε πολλὴν ἔχω τῷ γήρᾳ, ὅ μοι τὴν μὲν τῶν λόγων ἐπιθυμίαν ηὔξησε, τὴν δὲ τῆς πόσεως καὶ βρώσεως ἀπεμάρανεν. ὥστ᾽ εἴ τινα καὶ* 15 *ταῦτα εὐφραίνοι — ὡς ἂν μὴ παντάπασι δόξω πόλεμον τῇ ἡδονῇ καταγγείλας, ἧς τάχα ἔνι μέτρον τι κατὰ φύσιν —, οὐδ᾽ ἐν αὐταῖς δὴ ταῖς ἡδοναῖς ταύταις αἰσθήσεως δεῖσθαι τὸ γῆρας ὁρῶ. ἐμὲ γὰρ καὶ συμποσιαρχίαι εὐφραίνουσι, πρὸς τῶν προγόνων συντεταγμέναι, καὶ λόγος, ὃς ὑπὸ τοῦ μεγίστου συμποσιάρχου εἰς τὸν κώθωνα προγόνων ἔθει παράγεται, καὶ* 20 *κύλικες ὡς ἐν τῷ Ξενοφῶντος Συμποσίῳ σμικραὶ καὶ ἐπιψεκάζουσαι, ψῦχός τε ὥρᾳ θέρους καὶ αὖ ἐν μέρει ἤτοι ἥλιος ἢ πῦρ χειμερινόν· ἃ δὴ καὶ ἐν Σαβίνοις μετέρχεσθαι εἴωθα, συμπόσιόν τε ἀγρογειτόνων συγκροτῶ καθ᾽ ἑκάστην, καὶ τοῦτ᾽ εἰς νύκτα πολλήν, ᾗ μάλιστα δυναίμεθα, λόγοις διαφόροις συμπαρατείνομεν. ἀλλ᾽ οὐκ ἔστιν ἡδονῶν τοσοῦτος οἷον* 47 25 *γαργαλισμὸς ἐν τοῖς γέρουσι. πείθομαι· ἀλλὰ μὴν οὐδὲ πόθησίς γε· χαλεπὸν δὲ οὐδὲν ὧν ἂν μὴ ποθῇς. εὖ οὖν καὶ Σοφοκλῆς, ἐρομένου του αὐτὸν ἡλικίᾳ ἤδη κατειργασμένον, εἰ ἔτι χρῷτο ἀφροδισίοις, ʻεὐφήμειʼ, εἶπεν· ʻἐγὼ γὰρ ἀσμένως αὐτὸ ὥσπερ τινὰ λυττῶντα καὶ ἄγριον δεσπότην ἀπέφυγονʼ. τοῖς μὲν γὰρ ἐρωτικῶς ἔχουσι τῶν τοιούτων μισητὸν ἴσως τὸ* 30 *δεῖσθαι καὶ χαλεπόν· διακόροις δέ τοι καὶ ἐκπλέως τοῦ ἀπολαύειν τὸ δεῖσθαι ἥδιον. καίτοι γε οὐδὲ δεῖται, ὃς ἂν μὴ ποθῇ· τοιγαροῦν τὸ μὴ ποθεῖν τοῦτό φημι ἥδιον εἶναι. ὥστε εἰ τούτων αὐτῶν ἀπολαύει τῶν* 48 *ἡδονῶν ἀσμενώτερον ἡ χρηστὴ ἡλικία, πρῶτον μὲν σμικρῶν τινων, ὡς*

25 *γάργαρος* **BBrHLLvMMaV** | *γέρουσιν* **R** || **26** *ποθεῖς* **GOQU** *ποθεῖ* **B** *ποθῆι* **Lv** || **27** *αὐτοῦ* **U** | *ἡλικίαν* **R** || **32** *ἥδιον φημὶ* **CG** | *ἀπολάβει* **CU** || **33** *ἥδιον* om. (sed in mg. add.) **M** | *ἡ* om. **d** | *μικρῶν* **Ma**

5 *ἐμετρέουν* **T** || **10** *καὶ* iteravit **T** || **11** *ἐπιχαιρίοις* **T** | *ἡλικιοτῶν* **T** || **12** *περιλείπεται* **T** | *μετ᾽* **T** || **16** *πάχα* **T** || **22** *ἀγρογειπόνων* **T** || **26** *του α ὅτου* **T** || **28** *λυπτῶντα* **T**

ἀπολαύει, ἔπειτα δὲ ὧν καὶ τὸ γῆρας, κἂν πρὸς ἀφθονίαν μὴ ἐμφορῆται, ἐνδεὲς οὐκ ἔστι παντάπασιν. ὡς γὰρ ἐπὶ Τυρπίωνι Ἀμβιβίῳ ἥδεται μέντοι μᾶλλον ὁ ἀπὸ τοῦ πρώτου θεωρητηρίου θεώμενος, ἥδεται δ' αὖ καὶ ὁ ἀπὸ τοῦ τελευταίου, ὥς καὶ νεότης ταῖς ἡδοναῖς ἐγγύθεν προσβάλλουσα μᾶλλον ἥδεται ἴσως, ἥδεταί γε μὴν καὶ τὸ γῆρας θεώμενον αὐτὰς πόρρω- 5
49 *θεν, ὅσον ἱκανῶς ἔχει. ἀλλὰ μὴν ἐκεῖνό γε ἡλίκον τὸ τὴν ψυχήν, ὥσπερ μισθοφορεῖν πεπαυμένην ἀκολασίᾳ, φιλοτιμίᾳ, φιλονεικίᾳ, ἔχθρᾳ, πάσαις ἐπιθυμίαις, καθ' ἑαυτὴν εἶναι καὶ μεθ' ἑαυτῆς, τὸ λεγόμενον, ζῆν. ἐὰν δὲ δή τι καὶ σπουδῆς καὶ μαθήσεως οἷόν τινα χιλὸν ἔχῃ, οὐδὲν ὡς ἀληθῶς γήρως σχολὴν ἄγοντος ἥδιον. μόνον οὐκ ἐναποπνέοντα σπουδῇ τῶν περὶ* 10 *τὸν οὐρανὸν καὶ τὴν γῆν ἀναμετρήσεων Γάλον ἑωρῶμεν, τὸν οἰκεῖον τοῦ σοῦ πατρός, ὦ Σκιπίων· ὁσάκις μὲν ἐκεῖνον ἡ ἕως ἐγχειρήσαντα νυκτὸς διαγράφειν ἄττα ἐπέσχεν, ὁσάκις δ' αὖ ἡ νὺξ ἀρξάμενον ἕωθεν· ὅσον αὐτὸν εὔφραινε τὸ τὰς ἡλίου καὶ σελήνης ἐκλείψεις πολὺ πρόσθεν προλέγειν*
50 *ἡμῖν. τί δ' ἐν ἐλαφροτέραις μέν, ὀξείαις δὲ καὶ ταῖσδε σπουδαῖς; ὅσον* 15 *μὲν Ἔννιος ἔχαιρε τῷ ἑαυτοῦ Λιβυκῷ πολέμῳ, ὅσον δὲ Πλαῦτος τῷ Τρυκυλέντῳ, ὅσον τῷ Ψευδοδούλῳ. εἶδον ἔτι καὶ Λίβιον γέροντα, ὃς ἑπτὰ ἔτεσι πρὸ γενέσεως τῆς ἐμῆς τραγῳδίαν διδάξας προβέβηκε ζῶν ἄχρι ἐμῆς ἐφηβείας. τί δ' ἄρ' ὑπὲρ τῆς Ποπλίου Λικινίου Κράσσου σπουδῆς περί τε τὴν ἀρχιερωσύνην καὶ τὸ πολιτικὸν νόμιμον λέγω ἢ τῆς αὐτοῦ Πο-* 20 *πλίου Σκιπίωνος, ὃς ὀλίγων ἡμερῶν τῶνδε μέγιστος ἀπεδείχθη ἀρχιερεύς; καὶ γὰρ ἅπαντας, οὓς ἀνέμνησα, τούτους σπουδῶν πνέοντας τοιούτων ἐν γήρᾳ εἴδομεν. Μάρκον δὲ Κέθηγον, ὃν Ἔννιος 'μελίγηρυν' ὀρθότατα ὀνομάζει, ὅσῃ σπουδῇ γυμναζόμενον εἰς τὸ λέγειν ἑωρῶμεν καὶ γέροντα. τίνας οὖν εὐωχιῶν ἢ ἀγώνων ἢ παιδικῶν ἡδονὰς ἄξιον ταῖς ἡδοναῖς ταυ-* 25 *ταισὶ παραβάλλειν; καὶ αὗται μὲν τοίνυν σπουδαὶ μαθημάτων εἰσίν, αἳ δὴ τοῖς συνετοῖς τῶν ἀνδρῶν καὶ πεπαιδευμένοις εὖ κατὰ ταὐτὰ τῷ βίῳ συναύξονται, οἷόν τι κἀκεῖνο τῷ Σόλωνι εὐσχημονολογούμενον, ὅπερ ἐμμέτρως φησίν, ὡς πρότερον εἶπον, γηράσκειν αἰεὶ πολλὰ διδασκόμενος· ἧς δὴ περὶ ψυχὴν ἡδονῆς οὐδ' ἂν μία ὡς ἀληθῶς μείζων εἴη.* 30

15
51 *Νῦν δὲ πρὸς τὰς τῶν γεωργῶν ἔρχομαι ἡδονάς, αἷς ὑπερφυῶς ἥδομαι ἔγωγε· αἳ δὴ οὔτε τῳ διακωλύονται γήρᾳ κἀμοὶ πρὸς βίον σοφοῦ ἐγγυτάτω*

1 *ἥδιον ἀπολαύει* **Lv** | *ἐμφορεῖται* **FGOQU** || 2 *ἔστιν* **U** | *ἀμφιβίῳ* **LvP** *ἀμφιβίω* **B** | *μέν τι* **BrCFQU** || 3 *δ' αὖ* **MV** *δὲ αὖ* cett. (*αὖ* **O**, *οὖν* **Ma**) | *ὁ* om. **CU** || 4 *προσβαλοῦσα* (in mg. *προβλέπουσα*) **U** || 6 *ἔχει* **HLvMPV** Hess *ἔχοι* cett., Edd. | *μὴν* om. **CU** | *γε*] *τε* **d** || 8 *δέ* om. **MaO** || 9 *ἔχει* **MV** || 10 *τῶν*] *τὸν* **LLv** (in mg. *τῶν* **L**) || 11 *τὴν* om. **CU** | *γάλλον* **U** Hess *γάϊον* **R** (et in mg. **C**) || 12 *ἐκεῖνον* om. **Ma** | *νυκτὸς* om. **d** || 13 *ἄττ'* **R** Edd. | *δ' αὖ*] *δὲ* **B** || 15 *ὑμῖν* **BL** | *τί*] *τὸ* **P** | *ὀξύαις* **BLP** | *ταῖς* **LvP** || 17 *τρυκυλέτῳ* **U** | *ψευδούλῳ* **U** || 18 post *διδάξας* add. *κεθήγου καὶ τυτιδάνου ὑπατευόντων* **Vd** | *ἄχρις* **MV** || 19 *ἐφηβίας* **BLRV** Edd. |

ἔφαμεν, ἀπολαύει, ἔπειτα δὲ ὧν καὶ τὸ γῆρας, κἂν πρὸς ἀφθονίαν μὴ ἐμφορῆται, ἐνδεὲς οὐκ ἔστι παντάπασιν. ὡς γὰρ ἐπὶ Τυρπίωνι Ἀμφιουίῳ ἥδεται μέντοι μᾶλλον ὁ ἀπὸ τοῦ πρώτου θεωρητηρίου θεώμενος, ἥδεται δ᾽ αὖ καὶ ὁ ἀπὸ τοῦ τελευταίου, ὧς καὶ νεότης ταῖς ἡδοναῖς ἐγγύθεν 5 *προσβάλλουσα μᾶλλον ἥδεται ἴσως, ἥδεταί γε μὴν καὶ τὸ γῆρας θεώμενον αὐτὰς πόρρωθεν, ὅσον ἱκανῶς ἔχει.* 49 *ἀλλὰ μὴν ἐκεῖνό γε ἡλίκον τὸ τὴν ψυχήν, ὥσπερ τοῦ μισθοφορεῖν ἀπολελυμένην φιληδονίᾳ, φιλοτιμίᾳ, φιλονεικίᾳ, ἔχθρᾳ, πάσαις ἐπιθυμίαις, καθ᾽ ἑαυτὴν εἶναι καὶ μεθ᾽ ἑαυτῆς, τὸ λεγόμενον, ζῆν. εἰ δ᾽ ἄρα τι καὶ σπουδῆς καὶ μαθήσεως οἷόν τινα χιλὸν ἔχῃ,* 10 *οὐδὲν ὡς ἀληθῶς γήρως σχολὴν ἄγοντος ἥδιον. μόνον οὐκ ἐναποθνήσκοντα σπουδῇ τῶν περὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἀναμετρήσεων Γάλον ἑωρῶμεν, τὸν οἰκεῖον τοῦ σοῦ πατρός, ὦ Σκιπίων· ὁσάκις μὲν ἐκεῖνον ἡ ἕως νυκτὸς ἐγχειρήσαντα διαγράφειν ἄττα ἐπέσχεν, ὁσάκις δ᾽ αὖ ἡ νὺξ ἀρξάμενον ἕωθεν· ὅσον αὐτὸν εὔφραινε τὸ τὰς ἡλίου καὶ σελήνης ἐκλείψεις πολὺ* 15 *πρόσθεν προλέγειν ἡμῖν.* 50 *τί δ᾽ ἐν ἐλαφροτέραις μέν, ὀξείαις δὲ καὶ ταῖς σπουδαῖς; ὅσον μὲν Ἔννιος ἔχαιρε τῷ ἑαυτοῦ Λιβυκῷ πολέμῳ, ὅσον δὲ Πλαῦτος τῷ Τρουκολέντῳ, ὅσον τῷ Ψευδοδούλῳ. εἶδον ἔτι καὶ Λίβιον γέροντα, ὃς πρὸ γενέσεως ἐμῆς ἑπτὰ ἔτεσι μῦθον διδάξας ἐς ἐμὴν ἐφηβείαν ἡλικίᾳ προβέβηκεν. τί δ᾽ ἂν ἀμφὶ τῆς Ποπλίου Λικινίου Κράσσου* 20 *σπουδῆς περί τε τὴν ἀρχιερωσύνην καὶ τὸ πολιτικὸν νόμιμον εἴποιμι ἢ τῆς αὐτοῦ Ποπλίου Σκιπίωνος, ὃς ὀλίγων ἡμερῶν τῶνδε μέγιστος ἀρχιερεὺς ἀπεδείχθη; καὶ γὰρ τούτους ἅπαντας, οὓς ἀνέμνησα, σπουδῶν πνέοντας τοιούτων ἐν γήρᾳ κατείδομεν. Μάρκον δὲ Κέθηγον, ὃν Ἔννιος ‘μελίγηρυν’ ὀρθότατα εἴρηκεν, ὅση σπουδῇ γυμναζόμενον εἰς τὸ λέγειν* 25 *ἑωρῶμεν καὶ γέροντα. τίνας οὖν εὐωχιῶν ἢ θεῶν ἢ παιδικῶν ἡδονὰς ἄξιον ταῖς ἡδοναῖς ταυταισὶ παραβάλλειν; καὶ αὗται μὲν σπουδαὶ μαθημάτων εἰσίν, αἳ δὴ τοῖς συνετοῖς τῶν ἀνδρῶν καὶ πεπαιδευμένοις εὖ κατὰ ταὐτὰ τῷ βίῳ συναύξονται, ὡς κἀκεῖνο τὸ Σόλωνος σεμνολόγημα ἔχει, ὅπερ ἐμμέτρως φησίν, ὡς πρότερον εἶπον, γηράσκειν αἰεὶ πολλὰ διδασκό-* 30 *μενος· ἧς δὴ περὶ ψυχὴν ἡδονῆς οὐδ᾽ ἂν μία ὡς ἀληθῶς μείζων εἴη.*

15 51 *Νῦν δὲ πρὸς τὰς τῶν γεωργῶν ἔρχομαι ἡδονάς, αἷς ὑπερφυῶς ὡς ἥδομαι ἔγωγε· αἳ δὴ οὔτε τῷ γήρᾳ διακωλύονται κἀμοὶ πρὸς βίον σοφοῦ ἐγγύτατα*

ἄρα **CMRU** Edd. (*ἄρ᾽* Hess[1]) ‖ **20** *τὴν* om. **U** ‖ **23** *ὀρθότατα* **R** om. cett. ‖ **24** *εἰς τὸ λέγειν* om. **MV** ‖ **25** *τίνες* **P** | *ταῖς* iteravit **Ma** ‖ **26** *τοίνυν*] *δὴ* **R** ‖ **27** *ταῦτα* **C** ‖ **28** *συναυξάνονται* **d** | *κακεῖνος* (littera ς expuncta) **U** *κἀκεῖνος* (in mg. *κἀκεῖνο*) **C** | *εὐσχημονολογούμενον* **CLvR** Edd. *εὐσχημολογούμενον* cett. ‖ **29** *ἐν μέτρως* **U** | *ἀεὶ* **PRV** | *διδασκόμενον* **de** ‖ **32** *τῷ* **Pd** *τω* **ac** *τὸ* **e**

2 *ἐνδεὲς οὐκ* iteravit **T** ‖ **3** *μέν τι* **T** | *θεόμενον* **T** ‖ **6** *ἔχοι* **T** ‖ **12** *σκηπίων* **T** ‖ **15** *ἐλαφοτέροις* **T** ‖ **21** *σκηπίωνος* **T** ‖ **23** *κέτηγον* **T** ‖ **25** *ἢ*[1] iteravit **T** ‖ **29** *ἐμμετρώτῳ* **T**

*παραγινόμεναι φαίνονται. ἔχουσι γάρ τοι λόγον πρὸς γῆν, ἥ γε τὸ κελευόμε-
νον οὐδέποτ' ἀναίνεται οὐδ' ἔστιν ὅτε χωρὶς τόκου ἀποδίδωσι τὸ ληφθέν,
ἀλλ' ὁτὲ μὲν σὺν ἐπικαρπίᾳ ἐλάσσονι, ὡς τὰ πολλὰ δὲ σὺν μείζονι ἀμείβε-
ται. καίτοι ἐμέ γε οὐχ ὁ καρπὸς μόνον, ἀλλὰ καὶ αὐτὴ ἡ τῆς γῆς δύναμίς
τε καὶ φύσις εὐφραίνει· ἥτις εἰς κόλπον μεμαλαγμένον τε καὶ διεργασμένον* 5
*τὸ σκεδασθὲν σπέρμα ὑποδεξαμένη, πρῶτον μὲν βωλοκοπηθὲν συνίσχει
πιέσασα — ὅθεν δὴ καὶ βωλοκοπία ἡ τόδε ἀπεργαζομένη καλεῖται —,
ἔπειτα δὲ νοτίδι τε καὶ πιλώσει διαχεῖ θερμαινόμενον καὶ χλωρὰν ἀπ' αὐτοῦ
ἐφέλκεται πόαν· ἡ δὴ ῥιζίοις προσρυεῖσά τε καὶ παγεῖσα, λεληθότως
αὐξανομένη μειρακιοῦται καὶ καλάμῃ εὐγονάτῳ ἀνατεθεῖσα λέμμασιν* 10
*ἤδη καὶ θήκαις ὥσπερ ἡβῶσά τε καὶ ἴουλον φύουσα περικλείεται. τούτων
δ' ἀναδῦσα ἀποχεῖ τὸν καρπὸν στάχυος εὐταξίᾳ συντεταγμένον καὶ πρὸς
τὰ τῶν ἐλασσόνων ὀρνίθων δήγματα ἀθέρων σταυροῖς ἐχυρῶς κεχαρακω-*
52 *μένον. τί δ' ἀμπέλων περὶ γενέσεως καὶ φυτεύσεως καὶ αὐξήσεως ἀναμι-
μνήσκω; κόρον γε εὐφροσύνης τῷ ὄντι λαβεῖν οὐχ οἷός τ' εἰμί, ἵνα τὴν* 15
*τοῦ ἐμοῦ γήρως ἀνάπαυλάν τε καὶ ἡδυπάθειαν εἰδῆτε. παρίημι γὰρ τὴν
δύναμιν αὐτὴν πάντων τῶν ἐκ τῆς γῆς φυομένων, ἥτις ἐκ τηλικαύτης κεγ-
χραμίδος ἢ γιγάρτου ἢ ἑτέρων καρπῶν ἢ ῥιζοφύτων τινῶν ἐλαχίστων
σπερμάτων τηλικαῦτα στελέχη καὶ κλάδους δημιουργεῖ· μοσχεύματα δὲ
καὶ φυτευτήρια καὶ ὦσχαι καὶ ὑπόρριζοι καὶ ἀπώρυγες ταῦτα πάντα* 20
*οὐχ οὕτω πως διατίθησιν, ὡς μὴ ἂν θαύματος ἄνευ τέρπεσθαι μηδὲ
ὁντιναοῦν; ἄμπελος δὲ δὴ φύσει εὐκατάπτωτος οὖσα καί, εἰ μὴ ἀπερει-
δομένη που τύχοι, ῥᾳδίως ἐπὶ τὴν γῆν καταφερομένη, ἤδ', ὅπως ἑαυτὴν
ἀνορθοῖ, συμφύτοις ἕλιξιν οἷον χερσίν, ὅτου ἂν λάβηται, περιπτύσσεται·
εἶτ' ἀφέρπουσαν ὀλίσθῳ πολυσχιδεῖ τε καὶ πλάνητι σιδήρῳ τέχνῃ γεωρ-* 25
γῶν περιαιρουμένη κατίσχεται, μὴ κληματίσιν ὑλομανῇ καὶ πανταχόσε
53 *διαχέηται πλείστη. ἔαρος δ' ὑποφαίνοντος ἐν τοῖς καταλοίποις αὐτοῖς
ὥσπερ ὑπὸ μέτωπα τῶν κλημάτων ἀνέῳγεν ὁ καλούμενος ὀφθαλμός,
ὅθεν ὁ βότρυς ἑαυτὸν δεικνύει ἀνίσχων· ὁ δ' αὖ γῆς εὐτροφίᾳ καὶ θάλπει
ἡλίου αὐξόμενος πρῶτα μὲν στρυφνότατός ἐστι γεύσασθαι, ἔπειτα δὲ* 30
*γλυκαίνεται πεπαινόμενος, οἰναρά τε περικείμενος οὔτε θερμοῦ συμ-
μετρίας ἀμοιρεῖ καὶ τὸν τοῦ ἡλίου ἰσχυρὸν καύσωνα διαφεύγει. καί τί*

2 *οὐδ'*] *οὐδέν* **R** || **2–3** *οὐδ' — ἀμείβεται* om. (sed in mg. add.) **C** || **4** *τῆς* om. **d** || **5** *ἐς* **P** || **8** *πηλώσει* **R** || **9** *τε* om. **MaO** || **10** *αὐξανομένη* **BLLvPQR** *αὐξομένη* cett. | *ἀναταθεῖσα* **BCLP** (in mg. *ἀνατιθεῖσα* **C**) *ἀνατά[ε]θεῖσα* **Lv** *ἀνατή[α]θεῖσα* **M** *ἀνατιθεῖσα* Edd. (praeter Hess) || **11** *ἰουλοφύουσα* Edd. || **12** *ἀναδοῦσα* (in mg. *ἀναδῦσα*) **V** || **13** *ὀχυρῶς* **CR** Edd. || **15** *γ'* **Ma** | *οὐχ* om. **ac** || **16** *τοῦ ἐμοῦ*] *ἐμαυτοῦ* **Ma** || **17** *καγχραμίδος* **BBrCGHPU** || **19** *τηνικαῦτα* **O** | *καὶ μοσχεύματα* **BrHLvMPV** || **19. 20** *δὲ καὶ* **CFG** *καὶ* **BBrHLLvPV** Goez *δὲ* cett., Hess || **20** *ὦσχαι* **BBrLvPR** Hess *ὦχαι* cett., Goez | *ἀπώρρυγες* **P** || **21** *τρέπεσθαι* **FLLvMaP** ||

παραγινόμεναι φαίνονται. ἔχουσι γὰρ λόγον πρὸς γῆν, ἥ γε τὸ κελευόμενον οὐδέποτ' ἀπαξιοῖ οὐδ' ἔστιν ὅτε χωρὶς τόκου τὸ ληφθὲν ἀποδίδωσιν, ἀλλ' ὁτὲ μὲν σὺν ἐπικαρπίᾳ ἐλάσσονι, ὡς τὰ πολλὰ δὲ σὺν μείζονι. καίτοι ἐμέ γε οὐχ ὁ καρπὸς μόνον, ἀλλὰ καὶ αὐτὴ ἡ τῆς γῆς δύναμίς τε καὶ φύσις
5 *εὐφραίνει· ἥτις εἰς κόλπον μεμαλαγμένον τε καὶ ἀνεξυμωμένον τὸ σκεδασθὲν σπέρμα ὑποδεξαμένη, πρῶτον μὲν βωλοκοπηθὲν ἐπίσχει καταπιέσασα — ὅθεν δὴ καὶ βωλοκοπία ἡ τόδ' ἀπεργαζομένη καλεῖται —, ἔπειτα τόδ' ἀναθυμιάσει τε καὶ ξυμπιλήσει θερμαινόμενον διαχεῖται καὶ χλωρότητα ἐξ ἑαυτοῦ ποώδη ἐκφύει· ἡ δὴ ῥιζίοις προσρυεῖσά τε καὶ παγεῖσα,*
10 *λεληθότως μειρακιοῦται καὶ καλάμῃ εὐγονάτῳ ἀναθεῖσα λέμμασιν ἤδη καὶ θήκαις ὥσπερ ἴουλον φύουσα περικλείεται. ὧν ἀναδῦσα ἄμητον προβάλλει ἀστάχυος εὐταξίᾳ εὐτρεπισμένον κἀπὶ τῶν ἐλαττόνων ὀρνίθων δήγματα σταυροῖς ἀθέρων ⟨ἐχυρῶς κεχαρακωμένον. τί δ' ἀμπέλων περὶ⟩* 52 *γενέσεως καὶ φυτεύσεως καὶ αὐξήσεως ἀναμιμνήσκω; κόρον εὐφροσύνης*
15 *λαβεῖν οὐχ οἷός τ' εἰμί, ἵνα τὴν τοῦ ἐμοῦ γήρως ἀνάπαυσίν τε καὶ ἡδυπάθειαν μάθοιτε. παρίημι γὰρ τὴν δύναμιν αὐτὴν πάντων τῶν ἐκ γῆς φυομένων, ἥτις ἐκ τηλικαύτης κεγχραμίδος ἢ γιγάρτου ἢ ἑτέρων καρπῶν ἢ ῥιζοφύτων τινῶν λεπτοτάτων σπερμάτων τηλικαῦτα στελέχη καὶ κλάδους δημιουργεῖ· μοσχεύματα δὲ καὶ φυτευτήρια καὶ ὦσχαι καὶ ὑπόρριζοι*
20 *καὶ ἀπώρυγες ταῦτα πάντα οὐχ οὕτω διατίθησιν, ὡς μὴ ἂν ἄνευ θαύματος τέρπειν μηδὲ ὁντιναοῦν; ἄμπελος δὲ φύσει εὐκατάπτωτος οὖσα καί, εἰ μὴ ὑπερειδομένη που τύχοι, ἐπὶ τὴν γῆν ῥᾳδίως καταφερομένη, ἤδ', ὅπως ἑαυτὴν ἀνορθοῖ, ἕλιξι συμφύτοις οἷον χερσίν, ὅτου ἂν λάβηται, περιπτύσσεται· ἣν ἀφέρπουσαν πολυσχιδεῖ ὀλίσθῳ καὶ πλάνητι σιδήρῳ περιαιροῦσα*
25 *γεωργῶν τέχνη κατίσχει, μὴ κληματίσιν ὑλομανῆ ⟨καὶ πανταχόσε⟩ διαχέηται πλείστη. καὶ δὴ τοῦ ἔαρος ἀρχομένου ἐν τοῖς καταλειφθεῖσιν* 53 *αὐτοῖς ὥσπερ ὑπὸ μέτωπα τῶν κλημάτων ἀνέῳγεν ὁ καλούμενος ὀφθαλμός, ὅθεν ὁ βότρυς ἑαυτὸν ἀνατέλλων ἐκφαίνει· ὁ δ' αὖ εὐτροφίᾳ γῆς καὶ ἡλίου θάλπει αὐξόμενος πρῶτα μὲν δριμύτατός ἐστι γεύσασθαι, ἔπειτα*
30 *δὲ γλυκαίνεται πεπαινόμενος, οἰναρά τε ἀμπεχόμενος οὔτε μετρίας θερμότητος ἀμοιρεῖ καὶ τὸν τοῦ ἡλίου ἰσχυρὸν καύσωνα διαφεύγει. καί τί*

22 *ὅντινα οὖν* **CR** *οὕτινα οὖν* **Lv** | *δὲ* om. **MV** | *εὐκάπτωτος* **Lv** | *εἰ* om. **LvP** | *ἀπερειδομένη* om. **U** || 25 *ἀφέρπουσαν* **β** *ἀφέρπουσα* **Ω** | *ἐλίσθῳ* **P** | *πολυσχιδεῖ* (in mg. *πολυμερεῖ*) **L** *πολυσχηδεῖ* **Lv** *πολυσχεδεῖ* **P** | *καὶ* om. **R** | *πλάνητι*] *παντὶ* **U** | *τέχνη* **d** *τέχνῃ* **Ma** *τέχνης* cett. || 26 *κλιματίσιν* **GO** *κληματίδι* **P** || 27 *ἔαρος*] *ἔους* **Ma** | *δὲ* **MV** | *αὐτοῖς* om. **HMV** || 28 *κλιμάτων* **G** || 29 *ἀνέσχων* **V** | *δὲ αὖ* **Ma** | *ἐντροφία* **LvP** || 31 *γλυκένεται* **BGQU** *γλυκένται* **O** *γλυκεύενται* (in mg. *γλυκαίνεται*) **C** | *πεπαινεμόμενος* **LvP** *πεπαίνεται* **L** (sed supra litteras *νεται* lineola inductas *νόμενος* legitur)

4 *οὐκ* **T** || 13 *δείγματα* **T** | *ἐχυρῶς — περὶ* **α** || 17 *καγχραμίδος* **T** || 19 *ὦχαι* **T** || 21 *τρέπειν* **T** || 22 *καταφερομένα* **T** || 25 *καὶ πανταχόσε* **α** || 26 *τοῦ* scripsi *τὰ* **T**

ποτ᾽ ἂν ἢ εὐκαρπίᾳ τοῦδε ἁβρότερον ἢ εὐμορφίᾳ περικαλλέστερον γένοιτο;
τοῦδ᾽ οὐ τὸ ὄφελος μόνον, ὡς πρότερον ἔφην, ἀλλὰ καὶ ἡ θεραπεία καὶ
ἡ φύσις αὐτή με εὐφραίνει, χαράκων συστοιχία, κορυφῶν συζυγία, ἀνάδεσις
καὶ κατάθεσις ἀμπέλων, καὶ κλημάτων τῶν μέν, ὡς εἴρηται, περιαίρεσις,
τῶν δὲ πρόσθεσις. τί δ᾽ ἀρδείας, τί δὲ σκαπάνας καὶ νεώσεις καὶ γυρείας 5
καὶ βωλοστροφίας ἀγρῶν ἀπαγγελῶ, οἷς ἡ γῆ πολὺ γονιμωτέρα καθίστα-
54 ται; τί δὲ κόπρου ὠφελείας πέρι διδάσκω; γέγραφα ἐν οἷς τὰ περὶ τοὺς
ἀγροὺς συντεταγμένος εἰμί, ἧς πέρι Ἡσίοδος ὁ σοφὸς οὐδένα πεποίηται
λόγον γράφων περὶ ἐργασίας ἀγρῶν· ἀλλὰ μὴν Ὅμηρος, ὃς ἐμοὶ δοκεῖν
πολλοῖς πρόσθεν ἦν ἔτεσι, Λαέρτην ὑπολεαίνοντά τι τὸν πόθον, ᾧ κατ- 10
είχετο ποθῶν τὸν υἱόν, ἀγρὸν ἐργαζόμενον καὶ παρέχοντα κόπρον ποιεῖ.
οὐδὲ δὴ ληίοις μόνον καὶ λειμῶσι καὶ ἀμπελῶσι καὶ δενδρῶσιν ἡδέως
ἔχει τὰ τῶν ἀγροίκων, ἀλλὰ καὶ κήποις καὶ παραδείσοις καὶ τὸ μὲν βο-
σκημάτων νομαῖς, τὸ δὲ σμήνεσι μελισσῶν καὶ ποικιλίᾳ παντοδαπῶν
ἀνθέων· οὐδ᾽ αὖ μόνον φυτείαις ἐνασμενίζομεν, ἀλλ᾽ ἔτι καὶ ἐμφυτείαις, 15
ὧν οὐδὲν εὕρετο γεωργία φιλοτεχνότερον.

16
55 Πόλλ᾽ ἔτι τῶν κατ᾽ ἀγροίκους ἀπολαύσματα ἔχω διεξελθεῖν, ἀλλ᾽ ἅπερ
εἴρηκα ταῦτα μακρότερα αἰσθάνομαι εἰρηκώς. σύγγνωτε δέ· σπουδῇ τε
γὰρ προῆγμαι τῶν ἀμφὶ τοὺς ἀγροὺς καὶ ἅμα τὸ γῆρας φύσει λαλίστερον
(ἵνα μὴ πάσης αὐτὸ κακίας φαίνωμαι ἀπαλλάττων). τοιγαροῦν ἐν τῷ 20
τοιῷδε βίῳ Μάρκος Κούριος, ἐπειδὴ ἀπὸ Σαυνιτῶν καὶ Σαβίνων καὶ
Πύρρου νικητήρια ἔπεμψε, τὸν τελευταῖον τῆς ἡλικίας χρόνον δὴ κατεβίω·
οὗ τὴν ἔπαυλιν ἐγὼ θεωρῶν — ἀπέχει γὰρ ἀπ᾽ ἐμοῦ οὐ πολύ — θαυμάζειν
ἀποχρώντως οὐκ ἔχω οὔτε τὸ ἐγκρατὲς τοῦ ἀνδρὸς οὔτε τὸ ἀπὸ τῶν χρό-
νων πολυμαθές. Κουρίῳ δὲ τούτῳ πρὸς ἐσχάρᾳ καθεζομένῳ Σαυνῖται 25
σταθμὸν χρυσίου μέγαν προσενεγκόντες οὐδεμιᾶς ἔτυχον ἐπιστροφῆς. οὐ
γὰρ τὸ χρυσίον ἔχειν λαμπρόν οἱ ἔφη δοκεῖν, ἀλλα τὸ κρατεῖν τῶν ἐχόντων
56 χρυσίον. ἆρ᾽ οὖν δυνατὸν ψυχὴν τηλικαύτην μὴ οὐ γῆρας ἡδὺ ἀπεργάζε-
σθαι; ἀλλὰ μέτειμι πάλιν πρὸς τοὺς γεωργικούς, ἵνα μὴ αὐτὸς ἀπ᾽ ἐμαυ-
τοῦ δοκέω ἀποχωρεῖν. ἐν ἀγροῖς ἦσαν τότε ἄνδρες τῶν ἐκ τῆς γερουσίας, 30
γέροντες καθάπερ εἰκός, εἴ γ᾽ ἀροῦντι Λευκίῳ Κυΐντῳ Κινκινάτῳ ἀπηγ-
γέλθη, ὅτι δικτάτωρ αὐτὸς αἱρεθείη· οὗ δικτατωρεύοντος ἐπιτάξει Γάιος

1 ἀκρότερον **Q** | περικαλέστερον **Q** Edd. (praeter Hess) || 3 φύσεις **L** | στοιχία **BLLvP** | συζία **Q** || 4 κλιμάτων **GO** || 6 ἀπαγγελῶ **R** Goez Hess ἀπαγγέλλω cett., Edd. (ἀπαγγέλω **CFGOQ**, ἀμπέλων et in mg. ἀπαγγέλλω **L**) || 7 διδάξω **d** || 9 ὃς] ὡς **CG** (in mg. ὃς **C**) | δοκεῖ **FPRd** Hess (litteram ν lineola deleverunt **BLv**, in mg. δοκεῖ exhibet **C**) || 10–11 Λαέρτην — ἀγρὸν om. **MaO** || 10 τὸν om. **V** || 11 ποιεῖν **GMaO** || 14 νομοῖς **CU** (in mg. νομαῖς **C**) | σμήνεσσι **MV** | μελισῶν **Q** | πάντων (in mg. παντοδαπῶν) **B** || 16 γεωργίαν **BLv** (γεωργίαν littera ν lineola inducta **L**) || 17 κατὰ **BrFR** Goez Hess || 19 γὰρ om. **U** | λαλέστερον **GOVe** Goez || 20 μὴ om. **MV** | κακίας αὐτὸ **FR** Goez || 21–22 Μάρκος — κατεβίω om. **F** (qui tamen

ποτ' ἂν ἢ εὐκαρπίᾳ τοῦδε ἁβρότερον ἢ εὐμορφίᾳ περικαλλέστερον γένοιτο;
οὗ δὴ οὐ τὸ ὄφελος μόνον, ὡς πρότερον ἔφην, ἀλλὰ καὶ ἡ ἐργασία καὶ
φύσις αὐτή με εὐφραίνει, χαράκων συστοιχία, κορυφῶν συζυγία, ἀνάδεσις
καὶ κατάθεσις ἀμπέλων, καὶ κληματίδων τῶν μέν, ὡς ἔφην, περιαίρεσις,
5 *τῶν δὲ πρόσθεσις. τί δ' ἀρδείας, τί δὲ σκαπάνας καὶ βωλοστροφίας*
⟨ἀγρῶν⟩ ἀπαγγέλλω, οἷς ἡ γῆ ⟨πολὺ⟩ γονιμωτέρα καθίσταται; τί δὲ
κόπρου ὠφελείας πέρι λέγω; γέγραφα ἐν οἷς τὰ περὶ τοὺς ἀγροὺς συν- 54
τεταγμένος τυγχάνω, ἧς πέρι Ἡσίοδος ὁ σοφὸς οὐδένα πεποίηται λόγον
γράφων ὑπὲρ ἐργασίας ἀγρῶν· ἀλλὰ μὴν Ὅμηρος, ὃς πολλαῖς πρόσθεν
10 *ἡλικίαις ἦν, ὡς ἐμοὶ δοκεῖ, Λαέρτην λεαίνοντα τὸν πόθον, ᾧ κατείχετο*
ποθῶν τὸν υἱόν, ἀγρὸν ἐργαζόμενον καὶ παρέχοντα κόπρον ποιεῖ. οὐδὲ
δὴ θέρεσι μόνον καὶ λειμῶσι καὶ ἀμπελῶσι καὶ δενδρῶσιν ἡδέως ἔχει τὰ
τῶν ἀγροίκων, ἀλλὰ καὶ κήποις καὶ παραδείσοις καὶ τὸ μὲν βοσκημάτων
νομαῖς, τὸ δὲ μελισσῶν σμήνεσι καὶ ποικιλίᾳ παντοδαπῶν ἀνθέων·
15 *οὐδ' αὖ μόνον φυτείαις ἐνασμενίζω, ἀλλὰ καὶ ἐμφυτείαις, ὧν οὐδὲν εὕρετο*
γεωργία φιλοτεχνότερον.

16
Πόλλ' ἔτι τῶν κατ' ἀγροίκους ἀπολαύσματα ἔχω διεξελθεῖν, ἀλλ' ἅπερ 55
εἴρηκα ταῦτα μακρότερα αἰσθάνομαι εἰρηκώς. σύγγνωτε δέ· σπουδῇ τε
γὰρ προῆγμαι τῶν ἀμφὶ τοὺς ἀγροὺς καὶ ἅμα τὸ γῆρας φύσει λάλον ἐστίν
20 *(ἵνα μὴ πάσης αὐτὸ κακίας ἀπελευθερῶν ἐγὼ φαίνωμαι). τοιγαροῦν ἐν*
τῷ τοιῷδε βίῳ Μάρκος Κούριος, ἐπειδὴ ἀπὸ Σαυνιτῶν καὶ Σαβίνων καὶ
Πύρρου νικητήρια πέμψειε, τὸν τελευταῖον τῆς ἡλικίας κατεβίωσε χρό-
νον· οὗ δὴ τὴν ἔπαυλιν ἐγὼ θεωρῶν — ἀπέχει γάρ μου οὐ πολύ — θαυ-
μάζειν ἀποχρώντως οὐκ ἔχω οὔτε τὸ ἐγκρατὲς τοῦ ἀνδρὸς οὔτε τὸ ἀπὸ
25 *τῶν χρόνων πολυμαθές. Κουρίῳ δέ τοι πρὸς ἐσχάρᾳ καθεζομένῳ Σαυνῖ-*
ται σταθμὸν μέγαν χρυσίου προσενεγκόντες οὐδεμιᾶς ἔτυχον ἐπιστροφῆς.
οὐ γὰρ τὸ χρυσίον ἔχειν λαμπρὸν αὐτῷ ἔφη δοκεῖν, ἀλλὰ τὸ κρατεῖν τῶν
ἐχόντων χρυσίον. ἆρ' οὖν δυνατὸν ψυχὴν τηλικαύτην μὴ οὐ γῆρας ἡδὺ 56
ἀπεργάζεσθαι; ἀλλ' ἔρχομαι αὖ πρὸς τοὺς γεωργούς, ἵνα μὴ αὐτὸς
30 *[ἐθέλοι τῆς] ἀπ' ἐμαυτοῦ δόξω ἀποχωρεῖν. ἐν ἀγροῖς ἦσαν [τὸ] τότε*
ἄνδρες συγκλητικοί, γέροντες ὥσπερ εἰκός, εἴ γ' ἀροῦντι Λευκίῳ Κοΐντῳ
Κινκινάτῳ ἀπηγγέλθη, ὅτι δικτάτωρ αὐτὸς αἱρεθείη· οὗ δικτατωρεύοντος

in mg. eadem manu haec add.: *μάρκος κούριος μηδὲ τὸ περὶ σαννίτων καὶ πύρρου θριαμβοῦσαι τὸν ἔσχατον τῆς ἡλικίας χρόνον ἀνήλακεν* || **21** *σαννιτῶν* **CV** || **25** *σαννί-ται* **CV** || **26** *χρυσίον* **U** || **26–27** *προσενεγκόντες — χρυσίον* om. **U** || **27** *ἔχει* **V** | *οἱ* om. **d** | *κρατοῦν* **P** || **28** *οὖν οὐ* **FR** Goez Hess || **29** *ἀπὸ* **Ma** || **30** *τότε* **GH** Hess *τὸ τότε* cett., Edd. || **31** *οἶγ'* **BHLvV** *οἶγ* (in mg. *εἶγ*) **L** | *Κινκιννάτῳ* **d** || **32** *αἱρέθη* **BBrHV** *αἱρέθῃ* **M** *αἱρέθῃ* (η supra) **L** | *δικταρεύοντος* **B** *δικτατορεύοντος* **P**

1 *ἀμορφία* **T** || **6** *ἀγρῶν* et *πολὺ* **α** || **18** *εἰρικώς* **T** | *σύγνωτε* **T** || **24** *ἀποχρώντος* **T** || **29** *γεοργοὺς* **T** || **30** *ἐθέλοι τῆς* delevi | *τὸ* delevi

Σερβίλιος Ἄλας ἄρχων τῶν ἱππέων Σπύριον Μέλιον βασιλείαν οἱ κατασκευαζόμενον φωραθέντα ἀπέκτεινεν. ἐξ ἐπαύλεως μετάπεμπτοι τῷ βουλευτηρίῳ παρῆσαν καὶ οἱ περὶ Κούριον καὶ ἕτεροι γέροντες, ὅθεν δὴ καὶ κλήτορες οἱ καλοῦντες αὐτοὺς ὠνομάσθησαν. μὴ οὖν τὸ γῆρας τούτων ἐλεεινὸν ἦν, οἳ σφᾶς αὐτοὺς γεωργίᾳ τέρποντες διετέλουν; οὐ κατά γε 5
γνώμην ἐμήν, οὐκ οἶδα, εἴ τις βίος εἴη τούτου μακαριώτερος, οὐ μόνον ἐπιτηδεύσει τῷ τὴν ἀγρῶν ἐργασίαν παντὶ τῷ ἀνθρωπείῳ γένει σωτήριον πεφυκέναι, ἀλλὰ καὶ ᾗ ἔφην εὐφροσύνῃ καὶ πληρώσει καὶ εὐπορίᾳ πάντων, ὅσα τείνει εἴς τε ἀνθρώπων τροφὴν εἴς τε θεῶν θεραπείαν, ἵνα, ἐπειδή τινες τὰ τοιάδε ποθοῦσιν, εἰς χάριν ἤδη τῇ ἡδονῇ ἐπανήκωμεν. αἰεὶ γὰρ 10
τἀγαθοῦ καὶ ἐπιμελοῦς κυρίου μεστοὶ οἱ οἰνῶνες καὶ ἐλαιῶνες καὶ μελιττῶνες καὶ ὀψῶνες, καὶ κτηματικὴ πᾶσα ἡ κώμη, εὐπορεῖ δέλφακος, ἀμνοῦ, ἐρίφου, ἀλεκτορίδος, γάλακτος, τυροῦ, μέλιτος. ἤδη δὲ καὶ τὸν κῆπον αὐτοὶ γεωργοὶ ταριχείαν ἑτέραν ἀποκαλοῦσιν. ἡδίω δ' ἄρα ταῦτα ἀπο-
57 *δεικνύει καὶ ἡ ὡς ἐν παρέργῳ ὀρνιθοθήρα καὶ κυνηγία. τί δὲ τοῦ τῶν* 15
λειμώνων εὐχλώρου καὶ εὐανθοῦς πέρι ἢ τοῦ τῶν δένδρων εὐτάκτου ἢ τοῦ τῶν ἀμπελώνων τε καὶ ἐλαιώνων εὐειδοῦς πλείω εἴπω; συνελὼν δὴ ἐς βραχὺ ἐρῶ, ὅτι ἀγροῦ καλῶς γεγεωργημένου οὐδὲν ἂν γένοιτο οὔτε ἀφθονώτερον χρήσασθαι οὔτε μὴν εὐειδέστερον θεάσασθαι· ὧν δὴ οὐχ ὅπως τὸ γῆρας βραδυτέρους ἢ ὡς ἐπ' ἀπόλαυσιν ἀπεργάζεται, ἀλλὰ καὶ 20
διεγείρει καὶ θέλγον προσάγεται. ποῦ γὰρ ἂν ἡ ἡλικία δύναιτο κείνη ἤτοι ἡλίῳ καὶ πυρκαϊᾷ θερμαίνεσθαι βέλτιον ἢ σκιαῖς ἐν μέρει καὶ ὕδασι κατα-
58 *ψύχεσθαι σωτηριωδέστερον; οὐκοῦν σφίσιν ἵππους, σφίσιν ὅπλα, σφίσιν ἀκόντια, σφίσι ῥόπαλον καὶ σφαῖραν, σφίσι νήξεις καὶ δρόμους ἐχόντων οἱ νέοι, ἡμῖν δὲ τοῖς γέρουσιν ἐκ παιγνίων πολλῶν πεττούς τε καὶ ἀστρα-* 25
γάλους καταλειπόντων· καὶ τοῦτ' αὐτὸ μήποτε οὐκ ᾖ πρὸς θυμοῦ, ἐπειδὴ καὶ τούτων ἄνευ ἐθέλει τὸ γῆρας εἶναι μακάριον.

17
59 *Ἐν πολλοῖς γε μὴν τὰ Ξενοφῶντος βιβλία τυγχάνει χρήσιμα ὄντα· ἃ δὴ καὶ σπουδαίως ἀναγινώσκειν ὑμᾶς ἀξιῶ, καθάπερ δὴ καὶ ποιεῖτε. ὅσον οὖν φιλοτίμως πρὸς αὐτοῦ γεωργία ὑμνεῖται ἐν τῷ περὶ ἐπιμελείας τῶν* 30
κατὰ τὴν οἰκίαν πραγμάτων, ὅπερ Οἰκονομικὴ ἐπιγράφεται. καὶ ἵν' εἰδῆτε μηδὲν βασιλικὸν οὕτω δοκεῖν ὡς τὴν περὶ γεωργίαν σπουδήν, Σωκράτει

1 *σπόριον* **GMa** Hess | *μέλλιον* **LvP** | *οἱ* om. **Ma** | *κειτασκευαζόμενον* **B** *κειανσκευαζόμενον* **P** *καὶ αν σκευαζόμενον* **Lv** || 2 *ἀπέκτειναν* **GO** *ἀπέκτανεν* **C** | *βευτηρίῳ* **B** *βουλεουτηρίῳ* **LLvP** || 4 *κλητοτέρες* **M** || 5 *τρέποντες* **BP** *τρέποντες* (superscr. *τέρ*) **LLv** | *οὐ* om. **d** || 6 *εἴη τούτου* Goez Hess *τούτου εἴη* cett., Edd. | *μακαριώτερον* **QU** || 7 *τὴν*] *τῶν* **Ma** | *ἀνθρωπίνῳ* **R** Edd. (praeter Hess) || 8 *εὐφροσύνην* **BLLv** (litteram *ν* delevit **L**) || 9 *θεοῦ* **MaO** || 10 *τοιαῦτα* **Ma** | *γὰρ* **GQ** om. cett. || 11 *ἐλεῶνες* **ac** | *μελιτῶνες* **CG** Goez || 13 *ἀλεκτερίδος* **BLvP** *ἀλεκτερίδος* (superscr. *ο*) **L** || 14 *ταραχείαν* **acc** Goez || 15 *ἡ* om. **MV** || 16 *καὶ* om. **U** || 17 *ἐλαίων* **V** | *εἰς* **GHMR** Hess || 18 *ἀγροῦ*

*ἐπιτάξει Γάιος Σερουίλιος Ἄλας ἄρχων τῶν ἱππέων Σπόριον Μέλιον
βασιλείαν οἱ κατασκευαζόμενον φωραθέντα ἀπέκτεινεν. μετάπεμπτοι τῷ
βουλευτηρίῳ ἐξ ἐπαύλεως παρῆσαν καὶ οἱ περὶ Κούριον καὶ ἕτεροι
γέροντες, ὅθεν καὶ οἱ καλοῦντες αὐτοὺς κλήτορες ὠνομάσθησαν. μὴ οὖν
5 τὸ γῆρας τούτων ἐλεεινὸν ἦν, οἱ σφᾶς αὐτοὺς γεωργίᾳ τέρποντες διετέλουν;
οὐ κατά γε γνώμην ἐμήν, οὐκ οἶδα, εἴ τις βίος τούτου μακαριώτερος, οὐ
μόνον ἐπιτηδεύματι τῷ τὴν ἀγρῶν ἐργασίαν παντὶ τῷ ἀνθρωπίνῳ γένει
σωτήριον πεφυκέναι, ἀλλὰ καὶ ᾗ ἔφην εὐφροσύνῃ καὶ πλησμονῇ καὶ
εὐπορίᾳ πάντων πραγμάτων, ὅσα τείνει πρός τε ἀνθρώπων τροφὴν καὶ
10 θεῶν θεραπείαν, ἵν', ἐπειδή τινες τοῦτο ποθοῦσιν, εἰς χάριν ἤδη τῇ
ἡδονῇ ἐπανήκωμεν. αἰεὶ γὰρ [τοῦ] τἀγαθοῦ καὶ ἐπιμελοῦς κυρίου μεστὰ
τὰ οἰνωρεῖα καὶ ἐλαιωρεῖα καὶ μελιττωρεῖα καὶ ὀψωρεῖα, καὶ κτηματικὴ
πᾶσα ἡ ἔπαυλις, πληθύει χοίρου, ἀμνοῦ, ἐρίφου, ἀλεκτορίδος, γάλακτος,
τυροῦ, μέλιτος. ἤδη δὲ καὶ τὸν κῆπον αὐτοὶ γεωργοὶ ταριχείαν ἑτέραν
15 ἀποκαλοῦσιν. ἡδίω δ' ἄρα ταῦτ' ἀποδείκνυσι καὶ ἡ ὡς ἐν παρέργῳ ὀρνι-
θοθήρα καὶ κυνηγία. τί δ' αὖ λειμώνων χλωρότητος πέρι καὶ εὐανθίας* 57
*ἢ δένδρων εὐταξίας ἢ ἀμπελώνων τε καὶ ἐλαιώνων ἰδέας πλείονα φαίην;
ξυνελὼν ἐς βραχὺ ἐρῶ, ὡς ἀγροῦ εὖ καὶ καλῶς γεγεωργημένου οὐδὲν ἂν
γένοιτο οὔτ' ἀφθονώτερον χρήσασθαι οὔτ' εὐειδέστερόν που θεάσασθαι·
20 ὧν δὴ οὐχ ὅπως τὸ γῆρας βραδυτέρους ἢ ὡς ἐπ' ἀπόλαυσιν ἀπεργάζεται,
⟨ἀλλὰ καὶ διεγείρει καὶ θέλγον προσάγεται⟩. ποῦ γὰρ ἂν δύναιτο ἡ ἡλικία
ἐκείνη ἢ ἀλέᾳ ἢ πυρκαϊᾷ θερμαίνεσθαι βέλτιον ἢ ἐν μέρει σκιαῖς καὶ
ὕδασιν ἀναψύχεσθαι σωτηριωδέστερον; οὐκοῦν σφίσιν αὐτοῖς ἵππους* 58
*ἐχόντων, σφίσιν ὅπλα, σφίσιν ἀκόντια, σφίσι ῥόπαλον καὶ σφαῖραν, σφίσι
25 νήξεις καὶ δρόμους, ἡμῖν δὲ τοῖς γέρουσιν ἐκ παιγνίων πολλῶν ἀστραγά-
λους τε καὶ κύβους καταλειπόντων· καὶ τοῦτ' αὐτὸ μήποτέ γε οὐ φίλον,
ἐπειδὴ καὶ ἄνευ τούτων ἐθέλει τὸ γῆρας εἶναι μακάριον.*

Ἐν πολλοῖς γε μὴν τὰ Ξενοφῶντος βιβλία τυγχάνει χρήσιμα ὄντα· **17** 59
*ἃ δὴ καὶ σπουδαίως ἀναγινώσκειν ὑμᾶς ἀξιῶ, καθάπερ δὴ καὶ ποιεῖτε.
30 ὅσον οὖν φιλοτίμως πρὸς αὐτοῦ γεωργία ὑμνεῖται ἐν τῷ περὶ ἐπιμελείας
τῶν κατὰ τὴν οἰκίαν πραγμάτων, ὅπερ Οἰκονομικὴ ἐπιγράφεται. καὶ
ἵν' εἰδῆτε μηδὲν βασιλικὸν οὕτω δοκεῖν ὡς τὴν περὶ γεωργίαν σπουδήν,*

εὖ καλῶς **BrGR** Hess ‖ **21** *καὶ* om. **C** | *θέλγων* (ο supra ω) **Lv** *θέλγων* Goez | *ἐκείνη* **GLvPR** Hess ‖ **22** *ὕδατι* (in mg. *ὕδασι*) C ‖ **25** *πεπτούς* **Cac** ‖ **26** *οὐκ*] *εἰ οὐκ* Hess ‖ **28** *μὴν*] *μὴν μετὰ* **BLLvP** (*μετὰ* expunxit **L**) | *βυβλία* **FOQ** ‖ **29** *ἡμᾶς* **P** | *ποιεῖται* **BrC LvP** (in mg. *ποιεῖτε* **CLvP**) *ποιεῖται* (ε supra αι) **HL** ‖ **30** *γεωργίῳ* **GOQ** ‖ **31** *οἰκείαν* **LvP** | *ἀπογράφεται* **CGMaOU** (in mg. *ἐπιγράφεται* C) *ἀπεγράφεται* **Q** *ἐπιγεγράπται* (φε supra π) (litteris *γε* deletis) **M** | *εἰδῆται* **Br** *εἰδῆται* (ε supra αι) **LLv** ‖ **32** *οὕτως* **MV**

4 *κλήτονες* **T** ‖ **6** *μακαριότερος* **T** ‖ **11** *τοῦ* delevi ‖ **12** *μελιτωρεῖα* **T** ‖ **18** *ξυνεχῶν* **T** ‖ **21** *ἀλλὰ — προσάγεται* **α**

λόγος ἐν αὐτῷ πρὸς Κριτόβουλον, Κῦρον τὸν νεώτερον, βασιλέα Περσῶν,
ἀγχινοίᾳ τε καὶ ἡγεμονίας εὐκλείᾳ διάφορον, ὅτε Λύσανδρος ὁ Λακε-
δαιμόνιος, ἀνὴρ ἐπ᾽ ἀρετῆς ἄκρον ἐληλακώς, ἀφίκετο πρὸς αὐτὸν εἰς
Σάρδεις κομίζων τὰ παρὰ τῶν συμμάχων δῶρα, τά τε ἄλλα κοινῶς καὶ
φιλανθρώπως Λυσάνδρῳ προσενεχθῆναι καί τινα συμπεφραγμένον ἀγρὸν 5
πεφυτευμένον πρὸς ἀκρίβειαν ἐπιδεῖξαι. ἐπεὶ δὲ ἐθαύμαζεν ὁ Λύσανδρος
τάς τε τῶν δένδρων εὐθυωρίας καὶ τοὺς ὀρθοὺς εἰς πεντάδα εὐγώνιον
στίχους καὶ τὸ τῆς γῆς μαλθακὸν καὶ ὑπόκουφον καὶ τὴν τῶν ἀνθέων ἀπο-
πνεομένην καθαρῶς ἡδεῖαν ὀσμήν, καὶ θαυμάζων εἶπε μὴ μόνον τὸ ἀπ-
ηκριβωμένον, ἀλλὰ καὶ τὸ φιλότεχνον θαυμάζειν τοῦ καταμετρήσαντος 10
ἐκεῖνα καὶ διατάξαντος, τὸν Κῦρον ἀποκρίνασθαι· 'ἐγὼ τοίνυν ταῦτα
διεμέτρησα πάντα· ἐμοί εἰσιν οἱ ὄρχοι, ἐμὴ ἡ διάταξις, πολλὰ δὲ τῶν
δένδρων αὐτῶν καὶ χειρὶ πεφύτευται τῇ ἐμῇ'· καὶ τὸν Λύσανδρον ἀποβλέ-
ποντα εἴς τε τὸν πορφυροῦν κάνδυν καὶ τὸν πολλοῦ χρυσοῦ καὶ πολλῶν
λίθων Περσικὸν κόσμον εἰπεῖν· 'ὀρθῶς ἄρα, ὦ Κῦρε, μακάριόν σε εἶναί φα- 15
60 σι· τύχη γὰρ παρέζευκταί σου τῇ ἀρετῇ'. ταύτης οὖν ἔξεστι καὶ γέρουσιν
ἀπολαύειν, οὐδέ τι τὰ τῆς ἡλικίας ἀπείργει, ὥσθ᾽ ἧσσον τῶν τε ἄλλων καὶ
τοῦ γεωργεῖν ἐν τοῖς μάλιστα ποιεῖσθαι σπουδὴν ἄχρι τελευταίου χρόνου
τοῦ γήρως. ἐπεὶ καὶ Μάρκον Οὐαλέριον Κορβῖνον εἰς ἔτος ἑκατοστὸν
παρατείναντα τὸ ζῆν πυνθανόμεθα διαιτώμενον ἐν ἀγροῖς, τοῦ βίου ἤδη 20
πεπερασμένου, καὶ γεωργίᾳ προσέχοντα· ᾧ δὴ ἀπό γε τῆς πρώτης ὑπα-
τείας ἐπὶ τὴν ἕκτην ἑπτὰ καὶ τετταράκοντα ἔτη διεγεγόνει. ὥσθ᾽ ὅσον
ἡλικίας διάστημα ἐπὶ τὴν τοῦ γήρως ἀρχὴν οἱ ἡμέτεροι πρόγονοι ἠξιώκα-
σιν εἶναι, τοσοῦτος ἐκείνῳ δρόμος παρετάθη τιμῶν, καὶ τοὔσχατον τῆς
αὐτοῦ ἡλικίας ταύτῃ τοῦ μέσου μακαριώτερον, ᾗ ἀξίωμα μὲν μεῖζον, πό- 25
61 νον δὲ εἶχεν ἐλάσσω. οὕτω γήρως κολοφών ἐστι τὸ ἀξίωμα. ὅσον μὲν οὖν
ἐν Λευκίῳ Καικιλίῳ Μετέλλῳ, ὅσον δ᾽ ἐν Ἀττιλίῳ Καλατίνῳ· εἰς ὃν ἕνα
πλεῖστα ἔθνη τὸ ἐλεγεῖον ἐκεῖνο συνᾴδει·

πρῶτος ἀνὴρ ὅδ᾽ ἔην ἄστεος εὐρυόχλου.

γνώριμον εὖ μάλα τὸ ἔπος ἐπικεχαραγμένον τῷ τάφῳ. ἐνδίκως ἄρα σεμνός, 30
ὅτῳ τοὺς ἐπαίνους ἡ παρὰ πάντων φήμη ὁμογνωμονοῦσα τυγχάνει. οἷον
δ᾽ ἄνδρα νεωστὶ Πόπλιον Κράσσον, ἀρχιερέα μέγιστον, τεθεάμεθα, οἷον

1 ἐστὶ λόγος **C** ‖ 2 ἡγεμονείας **BHLvMaPQ** Hess | εὐκλίᾳ **LvP** (εὐκλία **B**) ‖ 6 ἀκρίβιαν **CF** | ἐθαύμασεν **V** ‖ 8 μαλακὸν (in mg. μαλθακὸν) **P** Hess | τῶν om. **d** ‖ 9 εἶπεν **CFQU** | ἀπεκρισώμενον **Q** ‖ 10 καταμετρήσαντο **U** καταμερήσαντος **ae** καταμερήξαντος **c** ‖ 11 διατάξαντο **U** ‖ 12 διεμέτρισα (η supra ι) **L** | τόρχοι **G** ‖ 16 οὖν **GMaOQ** τοίνυν cett., Hess ‖ 17 ἀπολαμβάνειν **CGMaOQU** ‖ 19 τοῦ om. **LLvQR** | οὐαλλέριον **BBrCGHPQU** (in mg. οὐαλέριον **C**) | ἑκάστὸν (το supra σ) **M** ‖ 22 ἐπὶ] ἐπεὶ **B** | τεσ-

Σωκράτει λόγος ἐν αὐτῷ πρὸς Κριτόβουλον, Κῦρον τὸν νεώτερον, βασιλέα Περσῶν, ἀγχινοίᾳ τε καὶ ἡγεμονίας εὐκλείᾳ διάφορον, ὅτε Λύσανδρος ὁ Λακεδαιμόνιος, ἀνὴρ ἐπ᾽ ἀρετῆς ἄκρον ἐληλακώς, ἀφίκετο πρὸς αὐτὸν εἰς Σάρδεις κομίζων τὰ παρὰ τῶν συμμάχων δῶρα, τά τε ἄλλα κοινῶς
5 *καὶ φιλανθρώπως Λυσάνδρῳ προσενεχθῆναι καί τινα συμπεφραγμένον ἀγρὸν πεφυτευμένον πρὸς ἀκρίβειαν ἐπιδεῖξαι. ἐπεὶ δὲ ἐθαύμαζεν ὁ Λύσανδρος τάς τε τῶν δένδρων εὐθυωρίας καὶ τοὺς ὀρθοὺς εἰς πεντάδα εὐγώνιον στίχους καὶ τὸ τῆς γῆς μαλθακὸν καὶ ὑπόκουφον καὶ τὴν τῶν ἀνθέων ἀποπνεομένην καθαρῶς ἡδεῖαν ὀσμήν, καὶ θαυμάζων εἶπε μὴ*
10 *μόνον τὸ ἀπηκριβωμένον, ἀλλὰ καὶ τὸ φιλότεχνον θαυμάζειν τοῦ καταμετρήσαντος ἐκεῖνα καὶ διατάξαντος, τὸν Κῦρον ἀποκρίνασθαι· ʽἐγὼ τοίνυν ταῦτα διεμέτρησα πάντα· ἐμοὶ οἱ ὄρχοι εἰσίν, ἐμὴ ἡ διάταξις, πολλὰ δὲ τῶν δένδρων αὐτῶν καὶ πεφύτευται χειρὶ τῇ ἐμῇ᾽· καὶ τὸν Λύσανδρον ἀποβλέποντα εἴς τε τὸν πορφυροῦν κάνδυν καὶ τὸ τοῦ σώματος*
15 *διαυγὲς καὶ τὸν πολλοῦ χρυσοῦ καὶ πολλῶν λίθων Περσικὸν κόσμον εἰπεῖν· ʽὀρθῶς ἄρα, ὦ Κῦρε, μακάριόν σέ φασι· τύχη γὰρ παρέζευκταί σου τῇ ἀρετῇ᾽. ταύτης τοίνυν ἔξεστι καὶ γέρουσιν ἀπολαύειν, οὐδέ τι τὰ τῆς* 60 *ἡλικίας εἴργει, ὥσθ᾽ ἧσσον τῶν τε ἄλλων καὶ τοῦ γεωργεῖν ἐν τοῖς μάλιστα ποιεῖσθαι σπουδὴν ἄχρι τελευταίου χρόνου τοῦ γήρως. ἐπεὶ καὶ Μάρκον*
20 *Οὐαλέριον Κορουῖνον εἰς ἔτος ἑκατοστὸν παρατείναντα τὸ ζῆν ἐπυθόμεθα διαιτώμενον ἐν ἀγροῖς, τοῦ βίου ἤδη πεπερασμένου, καὶ γεωργίᾳ προσέχοντα· ᾧ δὴ μεταξὺ τῆς πρώτης ὑπατείας καὶ ἕκτης ἑπτὰ καὶ τεσσαράκοντα ἔτη διεγεγόνει. ὥσθ᾽ ὅσον ἡλικίας διάστημα ἐπὶ τὴν τοῦ γήρως ἀρχὴν οἱ ἡμέτεροι πρόγονοι ἠξίωσαν εἶναι, τοσοῦτος ἐκείνῳ δρόμος*
25 *ὑπῆρξε τιμῶν, καὶ τοὔσχατον τῆς αὐτοῦ ἡλικίας ταύτῃ τοῦ μέσου μακαριώτερον, ᾗ μεῖζον μὲν ἀξίωμα, πόνον δὲ ἐλάττονα εἶχεν. οὕτω τοῦ γήρως κολοφών ἐστι τὸ ἀξίωμα. ὅσον μὲν οὖν ἐν Λευκίῳ Καικιλίῳ* 61 *Μετέλλῳ, ὅσον δ᾽ ἐν Ἀττιλίῳ Καλατίνῳ· εἰς ὃν ἕνα πλεῖστα ἔθνη τὸ εὐλόγιον ἐκεῖνο συνᾴδει·*

30 *πρῶτος ἀνὴρ ὅδ᾽ ἔην Ῥώμης μεγάλης ἐν ὁμίλῳ.*

γνώριμον τοὔπος ἐπικεχαραγμένον τῷ τάφῳ. ἐνδίκως ἄρα σεμνός, ὅτῳ τοὺς ἐπαίνους ἡ παρὰ πάντων φήμη ὁμογνωμονοῦσα τυγχάνοι. οἷον δ᾽ ἄνδρα νεωστὶ Πόπλιον Κράσσον, ἀρχιερέα μέγιστον, τεθεάμεθα,

σαράκοντα **CFGMOQU** ‖ **24** *παρεπάθη* **U** *παρᾰτάθη* **L** *παρατάθη* **P** ‖ **25–26** *πόνον – ἀξίωμα* om. **B** ‖ **26–27** *ὅσον – Καλατίνῳ* om. **R** ‖ **27** *δ᾽ ἐν*] *δὲ* **P** ‖ **28** *τὸ* om. **M** | *ἐλεγεῖον*] *εὐλόγιον* in mg. add. **P** ‖ **29** *ὅδε ἦν* **Q** | *εὐριόχλου* **R** ‖ **31** *πάντων* om. **R** ‖ **32** *ποπλίκιον* **Ma** | *τεθέαμαι* **BBcHLLvMPV**

4 *σάρδυ* **T** ‖ **14** *κάνδην* **T** ‖ **27** *ἐν α ἦν* **T**

δὴ μετὰ ταῦτα Μάρκον Λέπιδον τῇ αὐτῇ ταύτῃ κεκοσμημένον ἱερωσύνῃ. τί δὲ Παύλου πέρι ἢ Ἀφρικανοῦ λέγω ἤ, ὡς πρόσθεν ἤδη, περὶ Μαξίμου; ὧν οὐ τῇ γνώμῃ μόνον, ἀλλὰ καὶ νεύματι αὐτῷ ἐπεκάθιζε τὸ ἀξίωμα. ἔχει καὶ γὰρ τὸ γῆρας, καὶ μάλιστα ἐν ἐπιτιμίᾳ, τοσοῦτον ἀξίωμα, ὥστ᾿ ἂν περὶ πλείονος εἶναι πασῶν ὁμοῦ τῶν ἡδονῶν τῆς νεότητος. 5

18 62 *Ἀλλὰ γὰρ μεμνῆσθαι δεῖ παρὰ πάντα τὸν λόγον, ὡς ἐγὼ γῆρας ἐκεῖνο δὴ ἐπαινῶ, ὅπερ ἐπὶ κρηπῖδος νεότητος βεβηκὸς ἕστηκεν· ταῦτ᾿ ἄρα καὶ συμβαίνει, ὅπερ αὐτὸς πάλαι σὺν ὁμολογίᾳ μεγάλῃ ἁπάντων ἀπεφηνάμην, ὡς ἄρα ἄθλιον γῆρας εἴη τὸ λόγῳ μόνον προϊστάμενον ἑαυτοῦ. οὐ γὰρ πολιαὶ οὐδὲ ῥυτίδες ἐξαίφνης ἱκαναὶ προσφέρειν ἀξίωμα, ἀλλ᾿ ὁ πρὸ τοῦ* 10 63 *καλῶς διηγμένος βίος καρποὺς τελευτῶν δρέπεται ἀξιώματος. ταυτὶ γάρ ἐστιν αὐτά που τὰ ἔντιμα, ἅπερ ἐλαφρὰ καὶ κοινά πως δοκεῖ, ἐφίεσθαι, ἐξίστασθαι, ὑπανίστασθαι, προπέμπειν, ἐπαναπέμπειν, συμβουλεύεσθαι· ἃ δὴ καὶ ἐν ἡμῖν καὶ ἐν ταῖς ἄλλαις τῶν πόλεων, ὡς ἄριστα ἠθῶν ἔχει ἑκάστη, οὕτω τοι καὶ ἀκριβέστατα διασῴζεται. Λύσανδρον οὖν τὸν* 15 *Λακεδαιμόνιον, οὗ μνείαν πεποίημαι, λέγειν εἰωθέναι φασίν, ὅτι εὐσχημονέστατον γήρως δωμάτιον ἐν Λακεδαίμονι εἴη· οὐδαμοῦ γὰρ ἀπονέμοιτο ἡλικίᾳ τοσοῦτον, οὐδαμοῦ τὸ γῆρας ἐντιμότερον εἴη. οὐ μὴν ἀλλὰ καὶ παραδέδοται εἰς μνήμην, ὡς Ἀθήνησι θεῶν ἐπιτελουμένων, τινὸς τῶν πρεσβυτάτων εἰς τὸ θέατρον παρεληλυθότος, οὐδαμοῦ τοῦ μεγάλου* 20 *συνεδρίου τόπος αὐτῷ δοθείη ὑπὸ τῶν αὑτοῦ πολιτῶν· ὡς δὲ πρὸς Λακεδαιμονίους παρεγένετο, οἳ πρέσβεις ὄντες ἐν ἀποδεδειγμένῳ τόπῳ ἐτύγχανον συνεδρεύοντες, πάντας ὑπαναστῆναι λέγεται καὶ εἰς ἕδραν* 64 *παρειληφέναι τὸν γέροντα. ἐφ᾿ οἷς κρότου συχνοῦ παρὰ παντὸς γενομένου τοῦ συνεδρίου φάναι τινὰ αὐτῶν, ὡς Ἀθηναῖοι ἐπίστανται μὲν τὰ ὀρθῶς* 25 *ἔχοντα, ποιεῖν δὲ ἥκιστα αἱροῦνται. κἂν τῷ ἡμετέρῳ δὲ συλλόγῳ πολλὰ μὲν τῶν ἀξιολογωτάτων ἐστὶν ἰδεῖν, τοῦτο δὲ εἰς τὰ πρῶτα, οὗ πέρι ὁ λόγος· ὡς γὰρ ἂν ἕκαστος ἡλικίᾳ προέχῃ, οὕτω καὶ τὸ περὶ τὰς γνώμας ἀνῄρηται κράτος· οὐδὲ μόνον τῶν ἄλλων ἐπιτιμίᾳ προεχόντων, ἀλλὰ καὶ τῶν ἐν ἡγεμονίᾳ ὄντων αὐτῶν οἱ πρεσβύτεροι τῶν οἰωνοσκόπων προάγονται. τίνες δὴ σώματος ἡδοναὶ ἄξιαι παραβάλλεσθαι τοῖς τοῦ ἀξιώματος* 30 *γέρασιν; οἷς οἱ διαφανῶς χρησάμενοι τὸν τοῦ βίου μῦθον ἐμοὶ δοκοῦσι διηνυκέναι, ἀλλ᾿ οὐχὶ κατὰ τοὺς ἀνασκήτους τῶν ὑποκριτῶν ἐν ἐσχάτῳ*

1 *δὴ*] *δὲ* **HLLvMMaPQU** || 3 *καὶ* **BLvP** Goez Hess om. cett., Edd. || 3–4 *ἔχει — ἀξίωμα* om. **R** Goez || 4 *ἐν ἐπετίᾳ* **BP** (in mg. *ἐπετίματι* **P**) *ἐν ἐπίτιᾳ* **BrH** *ἐνεπιτιὰ* (litteris *τια* deletis, in mg. add. *τιμίᾳ*) **L** *ὂν ἐπίτιμον* **R** Hess om. Edd. (praeter **a**) || 6 *δ᾿ εἰ* **O** || 12–13 *ἐφίεσθαι, ἐξίστασθαι, ὑπανίστασθαι* om. **F** (qui in mg. add. *ἐπιζητῆσθαι, ὑποχωρεῖν, προσανίστασθαι*) || 13 *ἐξίστασθαι* om. **Bc** || 14 *ἐν*[1] om. **Bc** || 15 *διασώζεσθαι* **CU** || 17 *ἀπονέμειτο* **Q** *ἀπολέμοιτο* **Lv** *ἀπολέμοιτο* (ν supra λ) **LP** || 20 *παραληλυθότος* **PL** Goez || 20–21 *τοῦ — συνεδρίου* om. (sed in mg. add.) **P** ||

οἷον δὲ μετὰ ταῦτα Μάρκον Λέπιδον τῇ αὐτῇ ταύτῃ κεκοσμημένον ἱερωσύνῃ. τί δὲ Παύλου πέρι ἢ Ἀφρικανοῦ λέγω ἤ, ὡς πρόσθεν ἤδη, περὶ Μαξίμου; ὧν οὐκ ἐν γνώμῃ μόνον, ἀλλὰ καὶ νεύματι ἐνίζε τὸ ἀξίωμα. ἔχει καὶ γὰρ τὸ γῆρας, καὶ μάλιστα τὸ ἐν ἐπιτιμίᾳ, τοσοῦτον ἀξίωμα,
5 *ὥστ' ἂν περὶ πλείονος εἶναι πασῶν ὁμοῦ τῶν ἡδονῶν τῆς νεότητος.*

18 62 *Ἀλλὰ γὰρ μεμνῆσθαι δεῖ παρὰ πάντα τὸν λόγον, ὡς ἐγὼ γῆρας ἐκεῖνο δὴ ἐπαινῶ, ὅπερ ἐπὶ κρηπῖδι νεότητος βέβηκε· ταῦτ' ἄρα καὶ ξυμβαίνει, ὅπερ αὐτὸς πάλαι σὺν ὁμολογίᾳ μεγάλῃ πάντων ἀπεφηνάμην, ὡς ἄρα γῆρας ἄθλιον εἴη τὸ λόγῳ μόνον ἑαυτοῦ προστατεῦον. οὐ γὰρ πολιαὶ*
10 *οὐδὲ ῥυτίδες ἐξαίφνης ἱκαναὶ προσφέρειν ἀξίωμα, ἀλλ' ὁ πρὸ τοῦ καλῶς διηγμένος βίος καρποὺς τελευτῶν δρέπεται ἀξιώματος.* 63 *ταυτὶ γάρ ἐστιν αὐτά που τὰ ἔντιμα, ἅπερ ἐλαφρὰ καὶ κοινά πως δοκεῖ, ἀσπάζεσθαι, ἐφίεσθαι, ἐξίστασθαι, ὑπανίστασθαι, προπέμπειν, ἐπαναπέμπειν, συμβουλεύεσθαι· ἃ δὴ καὶ παρ' ἡμῖν καὶ ταῖς ἄλλαις πόλεσιν, ὡς ἄριστα ἠθῶν*
15 *ἔχει ἑκάστη, οὕτω καὶ ἀκριβέστατα περισῴζεται. Λύσανδρον οὖν τὸν Λακεδαιμόνιον, οὗ νῦν μνείαν πεποίημαι, λέγειν εἰωθέναι φασίν, ὡς εὐσχημονέστατον γήρως δωμάτιον εἴη ἐν Λακεδαίμονι· οὐδαμοῦ γὰρ ἀπονέμοιτο ἡλικίᾳ τοσοῦτον, οὐδαμοῦ τὸ γῆρας ἐντιμότερον εἴη. οὐ μὴν ἀλλὰ καὶ παραδέδοται εἰς μνήμην, ὡς Ἀθήνησι θεῶν ἐπιτελουμένων,*
20 *τινὸς τῶν πρεσβυτάτων εἰς τὸ θέατρον παρεληλυθότος, οὐδαμοῦ τοῦ μεγάλου συνεδρίου τόπος αὐτῷ δοθείη ὑπὸ τῶν αὐτοῦ πολιτῶν· ὡς δὲ πρὸς Λακεδαιμονίους παρεγένετο, οἳ πρέσβεις ὄντες ἐν ἀποδεδειγμένῳ τόπῳ ἐτύγχανον συνεδρεύοντες, πάντας ὑπαναστῆναι αὐτῷ λέγεται καὶ εἰς ἕδραν παρειληφέναι τὸν γέροντα.* 64 *ἐφ' οἷς κρότου συχνοῦ παρὰ παντὸς*
25 *γενομένου τοῦ συνεδρίου φάναι τινὰ αὐτῶν, [ἀπομνημονεύετε] ὡς Ἀθηναῖοι ἐπίστανται μὲν τὰ ὀρθῶς ἔχοντα, ποιεῖν δὲ οὐκ ἐθέλουσιν. κἂν τῷ ἡμετέρῳ δὲ συλλόγῳ πολλὰ μὲν τῶν ἀξιολογωτάτων ἐστὶν ἰδεῖν, τοῦτο δὲ εἰς τὰ πρῶτα, οὗ πέρι ὁ λόγος· ὡς ἂν γὰρ ἕκαστος ἡλικίᾳ προέχοι, οὕτω καὶ τὸ περὶ τὰς γνώμας ἀνῄρηται κράτος· οὐδὲ μόνον τῶν ἄλλων ἐπιτιμίᾳ*
30 *προεχόντων, ἀλλὰ καὶ τῶν ἐν ἡγεμονίᾳ ὄντων οἱ πρεσβύτεροι τῶν οἰωνοσκόπων προάγονται. τίνες δὴ σώματος ἡδοναὶ ἄξιαι παραβάλλεσθαι τοῖς τοῦ ἀξιώματος γέρασιν; οἷς οἱ διαφανῶς χρησάμενοι τὸν τοῦ βίου μῦθον ἐμοὶ δοκοῦσι διηνυκέναι, ἀλλ' οὐχὶ κατὰ τοὺς ἀνασκήτους τῶν ὑποκριτῶν*

25–26 *μὲν – αἱροῦνται* om. **F** || **26** *ὑμετέρῳ* **d** || **28** *ἂν* om. **R** Goez | *τὸ* om. **BLvMV** || **29** *μόνων* **BFLV** *μόνοςˇ* **U** | *ἐπιτιμίαν* **F** || **30** *ἐν* om. **O** | *αὐτῶν* om. **C** | *καὶ τῶν* **F** || **32** *γέρουσιν* **CGMaOQU** (in mg. *γέρασιν* **C**) | *οἱ* om. **V** *ού* (in mg. *οἱ*) **P** || **33** – p. 48, 1 *ἀλλ' – καταπεπτωκέναι* om. **R** Goez

9 *προστατεύων* **T** || **13** *συμβολεύεσθαι* **T** || **22** *ἀποδεδειμένῳ* **T** || **25** *ἀπομνημονεύετε* delevi || **28** *προσέχοι* **T** || **30** *προσεχόντων* **T**

65 *που τοῦ δράματος καταπεπτωκέναι. νὴ Δί', ἀλλ' εἰσί τινες δυσάρεστοι
καὶ ἐπίχολοι καὶ δυσάνιοι καὶ ὀργίλοι καὶ δυσξύμβολοι καὶ ἀπροσήγοροι
γέροντες, ἢν δὲ πολυπραγμονῶμεν, καὶ φειδωλοί. ἀλλὰ ταῦτα οὐ γήρως,
ἀλλ' ἤθους κακίαι εἰσί. καίτοι καὶ τὸ δυσάρεστον αὐτὸ καὶ ὅσαπερ ἔφην
ἔχοντ' ἀπολογίαν τινὰ φαίνεται, οὐ μέντοι κείνην γε τὴν δικαίαν, ἀλλ' ᾗ* 5
*ἂν δυνατὴ δοκιμάσαι πως δόξειε. καταφρονεῖσθαι γὰρ οἴονται, παρορᾶ-
σθαι, ἐμπαίζεσθαι, πρὸς δὲ καὶ εἰς ἀσθενὲς σῶμα μισητὸν πρόσκρουμα
ἅπαν ἐστίν. ὅμως μὴν ταῦτα πάντα καὶ δι' ἠθῶν εὐτροπίαν καὶ δι' ἐπι-
στημῶν μάθησιν πέφυκε γίνεσθαι ἡδίω· τοῦτο δ' ἐστὶ καταμαθεῖν τῇ
μὲν ἐπ' αὐτοῦ τοῦ βίου, τῇ δ' ἐπὶ τῆς σκηνῆς ἐξ αὐτῶν τῶν ἐν τῇ κωμῳδίᾳ* 10
*ἀδελφῶν. ὅση μὴν γὰρ ἐν τῷ σκληρότης, ὅση δ' ἐν τῷ φιλοφροσύνη. οὕτω
καὶ γὰρ ἔχει· καθάπερ οὐ πᾶς οἶνος, οὕτως οὐδὲ πᾶς βίος ὀξύνει παλαιω-
θείς. αὐστηρότητα μὲν οὖν ἀποδέχομαι γήρως, καὶ ταύτην, ὡς καὶ τἆλλα,*
66 *μετρίαν, στρυφνότητα δὲ οὐδ' ὁπωστιοῦν. φειδωλία δὲ γερόντων ὅ τι
βούλοιτο οὐ μανθάνω· τί γὰρ ἀτοπώτερον τοῦ ταύτῃ πλείω ζητεῖν ἐφόδια* 15
ᾗ ἐλάσσων ὁδὸς καταλείπεται;

19 *Λοιπὴ δὲ ἡ τετάρτη τῶν αἰτιῶν, ἣ μάλιστα περίλυπόν τε δοκεῖ καὶ πολυ-
μέριμνον ἴσχειν τὴν ἡμετέραν ἡλικίαν, ἡ τοῦ θανάτου γειτνίασις· ὅν γε ὡς
ἀληθῶς πόρρω που γήρως εἶναι οὐκ ἐγχωρεῖ. ἀλλ' ὢ γέροντος κακοδαί-
μονος, ὃς δι' οὕτω βίου μακροῦ καταφρονητέον ὄντα οὐκ ἴδοι τὸν θάνατον.* 20
*ὃς ἤτοι καθάπαξ ὀλιγωρητέος ἐστίν, εἰ παντελῶς τὴν ψυχὴν ἀποσβέννυ-
σιν, ἢ καὶ εὐκταῖος, εἴ ποι αὐτὴν ἀπάγοι, ᾗ μέλλει εἶναι ἀίδιος. καὶ τρίτον
οὐθὲν ὡς ἀληθῶς οἷόν τε εὑρεῖν. τί οὖν δείσω, εἰ μετὰ θάνατον ἢ οὐκ ἄθλιος*
67 *ἢ μακάριος ἔσομαι; καίτοι τίς οὕτως εὐήθης, κἂν νεανίσκος ᾖ, ὃς βεβαίως
οἴοιτο ζήσειν ἄχρι ἑσπέρας; κἀκείνη γάρ τοι ἡ ἡλικία πολὺ πλείους τῆς* 25
*ἡμετέρας συντυχίας ἴσχει θανάτου· ῥᾷον γὰρ περιπίπτουσι νόσοις οἱ νέοι,
χαλεπώτερον ἀσθενοῦσι, δυσχερέστερον θεραπεύονται. ὅθεν δὴ καὶ πάνυ
ὀλίγοι ἥκουσιν ἐπὶ γῆρας· ὅπερ εἰ μὴ ταύτῃ συνέβαινε, βελτιόνως ἂν
εἶχε καὶ φρονιμωτέρως ὁ βίος. νοῦς γὰρ καὶ λόγος καὶ εὐβουλία γέρουσιν
ἔνεστιν, ὧν εἰ μηδεὶς ἦν, οὐδὲ πόλεις ἂν τὸ παράπαν ἦσαν. ἀλλ' εἰς τὸν* 30
ἐπηρτημένον αὐτὸν ἐπάνειμι θάνατον. τί γὰρ ἔγκλημα γήρως ἐκεῖνο,
68 *ὅτε κοινὸν πρὸς νεότητα ὂν ὁρᾶτε; ᾐσθόμην ἔγωγε τὰ μὲν ἐπὶ τοῦ ἐμοῦ
βελτίστου υἱέος, τὰ δ' ἐπὶ τῶν εἰς ἀξίαν ὑψηλοτάτην προσδοκίμων σῶν*

1 *ἀναπεπτωκέναι* **V** ‖ 2 *δυσήνιοι* (sup. *α*) **MV** | *διεξύμβολοι* **U** *δισξύμβολοι* (in mg. *δυσ-*) **C** ‖ 4 *εἰσίν* **GR** ‖ 5 *ἔχοντα* **Ma** | *ἀπολογίας* **CU** Hess *ἀπολονίαν* **L** | *ἐκείνην* **BGLvOP** *κἀκείνην* **MV** ‖ 6 *δόξειεν* **R** Goez ‖ 7 *ἐμπέζεσθαι* **CQU** (in mg. *ἐμπαί-*) **C** *ἐππέζεσθαι* **O** ‖ 8 *πάντα* om. **R** Goez ‖ 9 *γίγνεσθαι* **GR** Goez Hess | *ἡδίων* **P** ‖ 10 *σκηνῆς*] *γῆς* (in mg. *σκηνῆς*) **M** ‖ 12 *οὕτως* — *βίος* om. **R** ‖ 13 *ταῦτα* **R** Edd. (praeter Hess) | *τἆλλα* **RH** Hess *τὰ ἄλλα* cett. ‖ 14 *μετρείαν* **G** ‖ 15 *τοῦ*] *αὐτοῦ* **BLv** ‖ 17 *δὲ* om. **LvP** | *ἡ* om. **U** | *πολυμήχανον* **CGMaOQU** (in mg. *πολυμέριμ-*

ἐν ἐσχάτῳ που τοῦ δράματος καταπεπτωκέναι. νὴ Δί᾽, ἀλλ᾽ εἰσί τινες 65
δυσάρεστοι καὶ δυσάνιοι καὶ ὀργίλοι καὶ δυσξύμβολοι γέροντες, ἢν δὲ
πολυπραγμονῶμεν, καὶ φειδωλοί. ἀλλὰ ταῦτα οὐ γήρως, ἀλλ᾽ ἤθους
κακίαι εἰσίν. καίτοι καὶ τὸ δυσάρεστον αὐτὸ καὶ ὅσαπερ ἔφην ἔχειν
5 *ἀπολογίαν τινὰ φαίνεται, οὐ μέντοι κείνην γε τὴν δικαίαν, ἀλλ᾽ ἣ ἂν*
δυνατὴ δοκιμάσαι πως δόξειεν. καταφρονεῖσθαι γὰρ οἴονται, παρορᾶσθαι,
ἐμπαίζεσθαι, πρὸς δὲ καὶ εἰς ἀσθενὲς σῶμα πᾶν πρόσκρουμα μισητόν
ἐστιν. ὅμως μὴν πάντα ταῦτα καὶ ἤθεσιν ἀγαθοῖς καὶ τέχναις γλυκύτερα
γίγνεσθαι· ἔστι δὲ τοῦτο μαθεῖν πῇ μὲν ἐπ᾽ αὐτοῦ τοῦ βίου, πῇ δ᾽ ἐπὶ
10 *τῆς σκηνῆς ἐξ αὐτῶν τῶν ἐν τῇ κωμῳδίᾳ ἀδελφῶν. ὅση μὴν γὰρ ἐν*
τῷ σκληρότης, ὅση δὲ ἐν τῷ φιλοφροσύνη. οὕτω καὶ γὰρ ἔχει· καθάπερ
οὐ πᾶς οἶνος, οὕτως οὐδὲ πᾶς βίος ὀξύνει παλαιωθείς. αὐστηρότητα μὲν
οὖν ἀποδέχομαι γήρως, καὶ ταύτην, ὡς τἄλλα, μετρίαν, δριμύτητα δὲ
οὐδ᾽ ὁπωστιοῦν. φειδωλία δὲ γερόντων ὅ τι καὶ βούλοιτο οὐ μανθάνω· τί 66
15 *γὰρ ἀτοπώτερον τοῦ ταύτῃ πλείω ζητεῖν ἐφόδια ᾗ ἐλάσσων ὁδὸς ὑπολεί-*
πεται;

Λοιπὴ δὲ ἡ τετάρτη τῶν αἰτιῶν, ᾗ μάλιστα πνιγμὸν παρέχειν δοκεῖ καὶ 19
πολυμέριμνον ἴσχειν τὴν ἡμετέραν ἡλικίαν, ἡ τοῦ θανάτου γειτνίασις·
ὅν γε ὡς ἀληθῶς πόρρω που γήρως εἶναι οὐκ ἐγχωρεῖ. ἀλλ᾽ ὦ γέροντος
20 *κακοδαίμονος, ὃς δι᾽ οὕτω βίου μακροῦ καταφρονητέον ὄντα οὐκ ἴδοι τὸν*
θάνατον. ὃς ἤτοι καθάπαξ ὀλιγωρητέος ἐστίν, εἰ παντελῶς τὴν ψυχὴν
ἀποσβέννυσιν, ἢ καὶ εὐκταῖος, εἴ ποι αὐτὴν ἀπάγοι, ᾗ μέλλει ἀίδιος εἶναι.
καὶ τρίτον οὐδὲν ὡς ἀληθῶς οἷόν θ᾽ εὑρεῖν. τί οὖν δείσω, εἰ μετὰ θάνατον
ἢ οὐκ ἄθλιος ἢ μακάριος ἔσομαι; καίτοι τίς οὕτως εὐήθης, κἂν νεανίσκος, 67
25 *ὃς βεβαίως οἴοιτο ζήσειν ἄχρι ἑσπέρας; οὐ μὴν ἀλλὰ κἀκείνη ἡ ἡλικία πολὺ*
πλείους τῆς ἡμετέρας συντυχίας ἴσχει θανάτου· ῥᾶον περιπίπτουσι νόσοις
οἱ νέοι, χαλεπώτερον ἀσθενοῦσι, δυσχερέστερον θεραπεύονται. ὅθεν δὴ
καὶ πάνυ ὀλίγοι ἥκουσιν ἐπὶ γῆρας· ὅπερ εἰ μὴ ταύτῃ συνέβαινε, βελτιόνως
ἂν εἶχε καὶ φρονιμωτέρως ὁ βίος. νοῦς γὰρ καὶ λόγος καὶ εὐβουλία
30 *γέρουσιν ἔνεστιν, ὧν εἰ μηδεὶς ἦν, οὐδὲ πόλεις ἂν τὸ παράπαν ἦσαν. ἀλλὰ*
μὴν εἰς τὸν ἐπηρτημένον θάνατον ἐπανέρχομαι. τί γὰρ ἔγκλημα γήρως
ἐκεῖνο, ὅτε τοῦτ᾽ ὁρᾶτε κοινὸν πρὸς νεότητα; ᾐσθόμην ἔγωγε τὰ μὲν ἐπὶ 68
τοῦ βελτίστου υἱέος, τὰ δ᾽ ἐπὶ τῶν εἰς ἀξίαν ὑψηλοτάτην προσδοκίμων

νον **C**) || **19** *που* om. **BBrLLvMV** | *ὃ* **MaO** *ὁ* **CQU** (in mg. *ὦ* **CU**) || **21** *ἀπο-σβένυσιν* **B** || **23** *ὡς* iteravit **M** || **24** *καί τι* **V** *καὶ* **P** || **26** *συντυχείας* **GO** || **27** *ἀσθε-νοῦσιν* **MV** | *δυσχέστερον* **Ma** *δυσχερέστατον* **BL** || **28** *βελτίονος* **F** || **29** *φρο-νιμώτερος* **d** | *τοῖς γέρουσιν* **MV** || **31** *ὑπηρτημένον* **V** *ἐπήρμενον* **Ma** || **33** *δὲ* **R** Goez Hess | *εἰς*] *εἰ* **U**

2 *δυστάρεστοι* **T** || **4** *ἔχει* **T** || **7** *πρόσκρουσμα* **T** || **8** *ὥμως* **T** || **14** *φιλωλία* **T** || **21** *ὀλιγωρητέως* **T** || **22** *εὐκτέως* **T** || **23** *θείσω* **T** || **27** *δυστυχέστερον* **T**

ἀδελφῶν, ὦ Σκιπίων, κοινὸν ὄντα ἡλικίᾳ πάσῃ τὸν θάνατον. ἀλλ' ὅ γε
νεανίσκος ἐλπίζει βιώσειν ἐπὶ πολύ, ὅπερ ὁ γέρων ἐλπίσαι κατὰ ταὐτὰ οὐκ
ἂν ἔχοι. ἀνοήτως μὲν οὖν ἐλπίζει. τί γὰρ εὐηθέστερον τοῦ ἄδηλα ἀντὶ
προδήλων λαμβάνειν καὶ ψευδῆ ἀντὶ ἀληθῶν; οὐ μὴν ἀλλ' οὐδ' ὅ τι δὴ
καὶ ἐλπίσειεν ἔχει ὁ γέρων. ἀλλ' ἔστι κἀνταῦθα ἐν καταστάσει βελτίονι 5
νεανίσκου, εἴ γ' ὃς ἤδη τετύχηκεν, ὧν ἐκεῖνος ἔτι ἐλπίζει· ὁ μὲν γὰρ
69 *ἐπὶ πολὺ βούλεται ζῆσαι, ὁ δ' ἐπὶ πολὺ ἔζησε. καίτοι, ὦ θεοὶ πανάγαθοι,*
ἐν ἀνθρώπου ζωῇ τί ἂν εἴη ἐπὶ πολύ; δώσεις γὰρ τελευταῖόν που χρόνον,
κἂν εἰς τὴν βασιλέως τῶν Ταρτησίων ζωὴν ἀποβλέψωμεν — ἐγένετο γάρ,
ὡς ἔστιν ἀναγεγραμμένον ἰδεῖν, Ἀργανθώνιός τις Γαδητανός, ὃς ὀγδοήκον- 10
τα μὲν ἐβασίλευσεν ἔτη, εἴκοσι δὲ καὶ ἑκατὸν ἐβιότευσεν —, ἀλλ' ἐμοὶ οὐ
χρόνιον δοκεῖ οὐδὲ ἕν, ἐν ᾧ τί ἐστι τελευταῖον· ἐπειδὰν γὰρ αὐτὸ παραγένη-
ται, ἐκεῖνο τὸ παρεληλυθὸς ἐξερρύη, καὶ τοσοῦτον δὴ παραμένει μόνον,
ὁπόσον ἀρετῇ καὶ ἔργοις ὀρθοῖς περιποιήσω. ὧραι μὲν γὰρ ὑπεκχωροῦσι
καὶ ἡμέραι καὶ μῆνες καὶ ἐνιαυτοί, οὐδ' ὁ παρεληλυθώς ποτε ἀναστρέφει 15
χρόνος, οὐδ' ὅ τι ἕπεται δυνατὸν εἰδέναι. ὁπόσος οὖν ἑκάστῳ πρὸς ζωὴν
70 *δίδοται χρόνος, στέργειν ἐπὶ τοσούτῳ χρεών. οὔτε γὰρ ὑποκριτῇ ἀπεργα-*
στέος ἅπας ὁ μῦθος, ὅπως ἀρέσῃ, εἰ μόνον, ἐν ὅτῳ τύχοι δράματι, εὐδο-
κίμησεν, οὔτε σοφῷ ἄχρι τοῦ 'κροτεῖτε' ἰτέον. βραχὺς γὰρ βίου χρόνος
ἅλις ἔχει μήκους πρὸς τὸ εὖ καὶ καλῶς βιοτεύειν· εἰ δὲ καὶ περαιτέρω 20
χωρήσαις, οὐδὲν μᾶλλον τῶν γεωργῶν ἀνιᾶσθαι χρὴ ἐφ' ᾧ τοῦ ἡδίστου τῆς
ἐαρινῆς παρεληλυθότος ὥρας θέρος τε καὶ φθινόπωρον ἐφεστηκέναι. τὸ
μὲν γὰρ ἔαρ τὸν νεανίσκον οἷον σημαίνει καὶ καρποὺς μέλλοντας ἐπιδείκνυ-
σιν, αἱ λοιπαὶ δ' ὧραι τῷ τῶν καρπῶν ἀμητῷ καὶ τῇ κομιδῇ συνῳκείων-
71 *ται. καρπὸς δὲ γήρως, ὡς πολλάκις ἔφθην εἰπών, ἡ τῶν πρόσθεν ἀγαθῶν* 25
πλεονεκτημάτων μνήμη καὶ εὐπορία. πάντα δὲ τὰ κατὰ φύσιν γιγνόμενα
θετέον ἐν ἀγαθοῖς. τί δ' οὕτω κατὰ φύσιν ὡς γηραιοῖς τὸ τεθνάναι; ὃ δὴ
καὶ νέοις συμβαίνει ταὐτὸ ἐναντιουμένης τε καὶ ἀμυνομένης τῆς φύσεως.
διὸ καὶ νέοι μὲν ἀποθνήσκειν ἐμοὶ δοκοῦσι, καθάπερ ὅταν πλησμονῇ
ὕδατος φλογὸς καταπιέζεται δύναμις, γέροντες δέ, ὥσπερ ὅτε πῦρ 30
ἀφ' ἑαυτοῦ, μηδεμιᾶς βίας ἐπενεχθείσης, ἀναλωθὲν ἀποσβέννυται· καὶ
ὥσπερ ὀπῶραι, ἣν μὲν ἄωροι τυγχάνωσιν οὖσαι, βίᾳ κατασπῶνται τῶν
δένδρων, εἰ δ' ὡραῖαι καὶ πέπονες, εὐπετῶς καταπίπτουσιν, ὧς δὲ καὶ
νέων μὲν τὸ ζῆν ἀφαιρεῖται βία, γερόντων δὲ πέπανσις ὡραία. ἡ δὴ οὕτως

1 *πάσῃ ἡλικίᾳ* **M** || 3 *ἄδηλα*] *πρόδηλα* Edd. (praeter **d** Hess) | 4 *τῶν προδήλων* **GUV** Hess *ἀδήλων* Edd. | *λαμπάνειν* **BL** || 5 *ἐλπίζειεν* **CU** | *ἔχει* **BLLvM** (supra *-ει* exhibet *οι* **M**) *ἔχοι* cett. || 6 *ἤδη* om. **R** || 8 *που*] *πολὺ* **LvP** || 10 *ἀργανθόνιος* **RU** | *τις* om. **d** || 11 *ἐβίωσεν* Edd. (praeter Hess) | *οὐ* iteravit **P** || 12 *οὐδὲ ἕν*] *οὐδὲν* **B** | *παραληλυθὼς* **BOP** *παρεληλυθὼς* **Br** *παραλεθὸς* **B** || 14 *ὀρθῶς* (supra *οι*) **P** || 15 *παραληλυθὼς* **BLP** || 16 *ὁπόσης* **Ma** || 21 *χωρήσαις* om. **Ma** || 22 *παραληλυ-*

σῶν ἀδελφῶν, ὦ Σκιπίων, κοινὸν ὄντα ἡλικίᾳ πάσῃ τὸν θάνατον. ἀλλ᾽ ὅ γε
νεανίσκος ἐλπίζει βιώσειν ἐπὶ πολύ, ὅπερ ὁ γέρων ἐλπίσαι κατὰ ταὐτὰ οὐκ
ἔχει. ἀνοήτως μὲν οὖν ἐλπίζει. τί γὰρ εὐηθέστερον τοῦ πρόδηλα ἀντ᾽ ἀδή-
λων λαμβάνειν καὶ ψευδῆ ἀντὶ ἀληθῶν; οὐ μὴν ἀλλ᾽ οὐδ᾽ ὅ τι δὴ καὶ
5 ἐλπίσειεν ἔχει ὁ γέρων. ἀλλ᾽ ἔστι κἀνταῦθα ἐν καταστάσει βελτίονι τοῦ
νεανίσκου, εἴ γ᾽ ὃς ἤδη τετύχηκεν, ὧν ἐκεῖνος ἔτι ἐλπίζει· ὁ μὲν γὰρ ἐπὶ
πολὺ βούλεται ζῆσαι, ὁ δ᾽ ἐπὶ πολὺ ἔζησε. καίτοι, ὦ θεοὶ πανάγαθοι, ἐν 69
ἀνθρώπου ζωῇ τί ἂν εἴη ἐπὶ πολύ; δώσεις γὰρ τελευταῖόν που χρόνον,
κἂν εἰς τὴν βασιλέως τῶν Ταρτησίων ζωὴν ἀποβλέψωμεν — ἐγένετο γάρ,
10 ὡς ἔστιν ἀναγεγραμμένον ἰδεῖν, Ἀργανθώνιός τις Τουρδητανός, ὃς ὀγ-
δοήκοντα μὲν ἐβασίλευσεν ἔτη, εἴκοσι δὲ καὶ ἑκατὸν ἐβιότευεν —, ἀλλ᾽ ἐμοὶ
οὐ χρόνιον δοκεῖ οὐδὲ ⟨ἕν⟩, ἐν ᾧ τι τελευταῖόν ἐστιν· ἐπειδὰν γὰρ αὐτὸ
παραγένηται, ἐκεῖνο τὸ παρεληλυθὸς ἐξερρύη, καὶ τοσοῦτον δὴ παρα-
μένει μόνον, ὁπόσον ἀρετῇ καὶ ἔργοις ὀρθοῖς περιποιήσω. ὧραι μὲν γὰρ
15 ὑπεκχωροῦσι καὶ ἡμέραι καὶ μῆνες καὶ ἐνιαυτοί, οὐδ᾽ ὁ παρεληλυθὼς
ποτε ἐπιστρέφει χρόνος, οὐδ᾽ ὅ τι ἕπεται δυνατὸν εἰδέναι. ὁπόσος οὖν
ἑκάστῳ πρὸς ζωὴν δίδοται χρόνος, στέργειν ἐπὶ τοσούτῳ χρεών. οὔτε γὰρ 70
ὑποκριτῇ ἀπεργαστέος ὁ μῦθος, ὅπως ἀρέσῃ, εἰ μόνον, ἐν ὅτῳ τύχοι
δράματι, εὐδοκίμησεν, οὔτε σοφῷ ἄχρι τοῦ 'κροτεῖτε' ἰτέον. βραχὺς γὰρ
20 βίου χρόνος ἅλις ἔχει μήκους πρὸς τὸ εὖ καὶ καλῶς βιοτεύειν· εἰ δὲ καὶ
περαιτέρω χωρήσαις, οὐδὲν μᾶλλον τῶν γεωργῶν ἀνιᾶσθαι χρεὼν
ἐφ᾽ ᾧ τοῦ ἡδίστου τῆς ἐαρινῆς ὥρας παρεληλυθότος θέρος τε καὶ φθινόπω-
ρον ἐφεστηκέναι. τὸ μὲν γὰρ ἔαρ τὸν νεανίσκον οἷον σημαίνει καὶ καρποὺς
μέλλοντας ἔσεσθαι ἐπιδείκνυσιν, αἱ λοιπαὶ δ᾽ ὧραι τῷ τῶν καρπῶν
25 ἀμητῷ καὶ τῇ κομιδῇ συνῳκείωνται. καρπὸς δὲ γήρως, ὡς ἔφην πολλάκις, 71
ἡ τῶν πρόσθεν χρηστῶν πλεονεκτημάτων μνήμη καὶ εὐπορία. πάντα δὲ
τὰ κατὰ φύσιν γινόμενα θετέον ἐν ἀγαθοῖς. τί δ᾽ οὕτω κατὰ φύσιν ὡς
γηραιοῖς τὸ τεθνάναι; ὃ δὴ καὶ νέοις συμβαίνει ταὐτὸ ἐναντιουμένης καὶ
ἀμυνομένης τῆς φύσεως. διὸ καὶ νέοι μὲν ἀποθνήσκειν ἐμοὶ δοκοῦσιν,
30 ὥσπερ ὅταν ὕδατος πλησμονῇ φλογὸς καταπιέζηται δύναμις, γέροντες
δέ, ὥσπερ ὅταν πῦρ ἀφ᾽ ἑαυτοῦ, μηδεμιᾶς βίας ἐπενεχθείσης, ἀναλωθὲν
ἀποσβέννυται· καὶ ὥσπερ ὀπῶραι, ἢν μὲν ἄωροι τυγχάνωσιν οὖσαι, βίᾳ
κατασπῶνται τῶν δένδρων, εἰ δ᾽ ὡραῖαι καὶ πέπονες, εὐπετῶς κατα-
πίπτουσιν, ὣς δὲ καὶ νέων μὲν τὸ ζῆν ἀφαιρεῖται βία, γερόντων δὲ

θότος **P** | τε] γὰρ **BLLvP** (γὰρ expunxerunt **LP**, expuncto γὰρ suprascripsit τε **Lv**) ‖ **23** μέλλοντας **PRUV** μέλλοντας ἔσεσθαι cett. ‖ **26** γινόμενα **V** ‖ **29** πλησμονῆς **P** ‖ **30** ὥστε **R** Goez Hess | ὅταν **C** ‖ **32** τυγχάνουσιν **V** Edd. (praeter Hess) ‖ **33** κατα-πίπτου **V** ‖ **34** δὴ om. **P**

1 σκηπίων **T** ‖ **5** κἀνταῦθα α καὶ ταῦτα **T** ‖ **7** δὲ **T** ‖ **10** ἀργαθώνιος **T** ‖ **12** ἕν α ‖ **19** κρουτείτε **T** ‖ **20** εἰ δὲ καὶ iteravit **T** ‖ **28** ἐναντιουμένοις **T**

*ἔμοιγε προσηνής ἐστιν, ὥσθ᾽, ὅσῳ ἐγγυτέρω γίγνομαι τοῦ θανάτου, γῆν
οἷον ὁρᾶν μοι δοκῶ καί ποτε μέλλειν ἐκ μακροῦ πλοῦ εἰς λιμένα καταίρειν.*

20
72 *Καὶ πασῶν μὲν τῶν ἄλλων ἡλικιῶν ἀποδέδεικται προθεσμία, γήρως
δὲ οὐδεὶς ὥρισται ὅρος· ὀρθῶς τ᾽ ἔχει τὸ ζῆν ἐν αὐτῷ, ἐφ᾽ ὅσον ἄν τις
κατορθοῦν τὴν καθήκοντος ὑπουργίαν καὶ φυλάσσειν οἷός τε ᾖ καὶ μέντοι* 5
*θανάτου καταφρονεῖν· ὥστε καὶ κινδυνεύει θαρραλεώτερόν τε καὶ ἀν-
δρειότερον νεότητος εἶναι τὸ γῆρας. καὶ τοῦτ᾽ ἔστιν, οἶμαι, ὃ Πεισιστράτῳ
τῷ τυράννῳ ἀπεκρίνατο Σόλων, ὅτ᾽ ἐρωτῶντι αὐτῷ, τίνι δήποτε πεποιθὼς
ἐλπίδι εὐτόλμως οὕτως οἱ ἐνίσταται, ʻγήρᾳ᾽ ἔφη. πέρας γε μὴν ἄριστον
βίου, ὅταν ἀκεραίου ἔτι ὄντος τοῦ νοῦ καὶ ὑγιαινουσῶν τῶν αἰσθήσεων τὸ* 10
*οἰκεῖον ἔργον αὐτὴ διαλύσῃ, ἥτις καὶ συνέστησε, φύσις. ὡς γὰρ ναῦν τε
καὶ οἰκοδόμημα ὁ αὐτὸς ῥᾷστα καταλύει, ὅστις καὶ κατεσκεύασεν, οὕτως
ἄρα καὶ ἄνθρωπον ἄριστα ἡ αὐτὴ διαλύει, ἥτις καὶ συνέστησε, φύσις.
ἤδη δὲ πᾶσα σύστασις πρόσφατος μὲν οὖσα χαλεπῶς διασπᾶται, παλαιω-
θεῖσα δέ τοι πάνυ ῥᾳδίως. οὕτω δὴ συμβαίνει μήτ᾽ ἄγαν ὀρέγεσθαι χρῆναι* 15
τοὺς γέροντας αὐτοῦ τοῦ ἐπὶ βραχύ τι τῆς ζωῆς ὑπολειπομένου μήτε τι
73 *μεθίεσθαι ἄνευ αἰτίας. ἐπεὶ καὶ Πυθαγόρας κωλύει προστάγματος ἄνευ
τοῦ αὐτοκράτορος, τοῦ θεοῦ δηλονότι, ἐκ τῆς φρουρᾶς ἀναχωρεῖν καὶ τῆς
περὶ τὸ ζῆν φυλακῆς. Σόλωνος δέ γε τοῦ σοφοῦ ἐλεγεῖόν ἐστιν, ᾧ τὸν
αὐτοῦ θάνατον οὔ φησι βούλεσθαι καθαρὸν λύπης εἶναι καὶ ὀλοφυρμῶν* 20
*τῶν ἐπιτηδείων. ποθεινὸς γὰρ ὅδε, οἶμαι, τοῖς ἑαυτοῦ εἶναι ἐθέλει·
ἀλλ᾽ ἴσως Ἔννιος ἄμεινον·*

> *οὔτις κυδαίνων ἤπειτ᾽ ἐμὲ δάκρυ᾽ ἀφήσει,*
> *οὐδὲ τάφον μοι θήσει λυγρὸν ἐπιστοναχίζων.*

74 *οὐ γὰρ οἴεται θρηνητέον τὸν θάνατον, ᾧ γ᾽ ἀθανασία παρέπεται. ἤδη* 25
*δ᾽ αἴσθησις μὲν τοῦ ἀποθνῄσκειν εἴ τις καὶ εἴη, ἐπὶ χρόνον ἥ γε ἀδρανῆ
διαρκεῖ, ἄλλως τε καὶ γέροντι· μετὰ θάνατον δὴ ἤτοι εὐκταία ἢ οὐδεμία
ἐστὶν αἴσθησις. ἀλλὰ γὰρ ἐκ νέου δεῖ ἔχειν μεμελετημένον θανάτου
καταφρονεῖν, ὡς ἄνευ ταυτησὶ τῆς μελέτης οὐκ ἐνόν τῳ τὸ ἔχειν τὴν ψυχὴν
ἀθορύβως. ἀποθανεῖν γάρ τοι ὡς ἀληθῶς δεῖ, καὶ τοῦτ᾽ ἄδηλον, εἰ ἐν* 30
αὐτῇ ταύτῃ γε τῇ ἡμέρᾳ. τὸν οὖν ὅσαι ὧραι ἐπηρτημένον θάνατον δεδιὼς
75 *τίς ἂν ἀτρεμίζειν τὴν ψυχὴν οἷός τε εἴη; τούτου γε μὴν πέρι οὐ πολλῆς τι-*

1 *ἐμοὶ* **MPV** | *ὥσθ᾽ ὅσα* **P** *ὥστ᾽ ὅσα* **Lv** *ὡς σόσα* **B** || 2 *οἷον* om. **B** | *μοι* om. **R** || 4 *ἔχει* **PRV** Hess *ἔχειν* cett. || 5 *μέν μοι* **O** || 6 *θανάτου* iteravit **Lv** | *κινδυνεύειν* **BBrGLvMMaOV** | *θαρσαλεώτερον* **V** || 8 *ὅτι* **Ma** || 11 *διαλύσει* **B** || 12 *διαλύει* Goez || 13 *ἄριστα* om. **MaO** || 15 *δέ*] *δὲ καὶ* **BLLvP** | *τοι*] *τι* **HMV** om. **P** | *οὕτω* iteravit **U** | *συμβαίνειν* **LvP** (*ξυμ-* **BL**) || 19 *γε* om. **BMaO** Edd. (praeter Hess) | *ἐλεγεῖον*] *εὐλόγιον* in mg. add. **P** || 22 *Ἔννιος*] *ἐν ἀνοις* (in mg. *ἔννιος*) **L** *ἐν ἀνθρώποις* **BLvP** (in mg. *ἔννιος* **P**) || 24 *λυγρῶς* **FQ** || 25 *γε* **MV** || 27 *δὴ*] *δὲ* **FHOPQ**

πέπανσις ὡραία. ἣ δὴ οὕτως ἔμοιγε προσηνής ἐστιν, ὥσθ᾽, ὅσῳ ἐγγυτέρω γίγνομαι τοῦ θανάτου, γῆν οἷον ὁρᾶν μοι δοκῶ καί ποτε μέλλειν ἐκ μακροῦ πλοῦ εἰς λιμένα καταίρειν.

20 72 Καὶ πασῶν μὲν τῶν ἄλλων ἡλικιῶν ἀποδέδεικται προθεσμία, γήρως δὲ
5 οὐδεὶς ὥρισται ὅρος· ὀρθῶς τ᾽ ἔχει τὸ ζῆν ἐν αὐτῷ, ἐφ᾽ ὅσον ἄν τις κατορθοῦν τὴν καθήκοντος ὑπουργίαν καὶ φυλάττειν οἷός τε ᾖ καὶ μέντοι θανάτου καταφρονεῖν· ὥστε καὶ κινδυνεύει θαρραλεώτερόν τε καὶ ἀνδρειότερον νεότητος εἶναι τὸ γῆρας. καὶ τοῦτ᾽ ἔστιν, οἶμαι, ὃ Πεισιστράτῳ τῷ τυράννῳ ἀπεκρίνατο Σόλων, ὅτ᾽ ἐρωτῶντι αὐτῷ, τίνι δήποτε
10 πεποιθὼς ἐλπίδι εὐτόλμως οὕτως οἱ ἐνίσταται, 'τῷ γήρᾳ' ἔφη. πέρας γε μὴν ἄριστον βίου, ὅταν ἀκεραίῳ νῷ καὶ ὑγιέσιν αἰσθήσεσι τὸ οἰκεῖον ἔργον ἡ αὐτὴ διαλύσῃ, ἥτις ξυνήρμοσεν, φύσις. ὡς γὰρ ναῦν τε καὶ οἰκοδόμημα ὁ αὐτὸς ῥᾷστα καταλύει, ὅστις καὶ ⟨κατεσκεύασεν⟩, οὕτως ἄρα καὶ ἄνθρωπον ἄριστα ἡ αὐτὴ διαλύει, ἥτις καὶ ξυνεκόλλησεν, φύσις. ἤδη καὶ
15 πᾶσα ξυγκόλλησις πρόσφατος μὲν οὖσα χαλεπῶς κατασπᾶται, παλαιωθεῖσα δὲ πάνυ ῥᾳδίως. οὕτω δὴ ξυμβαίνει μήτ᾽ ἄγαν ὀρέγεσθαι χρῆναι τοὺς γέροντας αὐτοῦ τοῦ ἐπὶ βραχὺ τῆς ζωῆς ὑπολειπομένου μήτε τι μεθίεσθαι ἄνευ αἰτίας. ἐπεὶ καὶ Πυθαγόρας κωλύει δίχα προστάγματος 73 τοῦ αὐτοκράτορος, τοῦ θεοῦ δηλονότι, μηδέποτ᾽ ἐκ τῆς φρουρᾶς ἀναχωρεῖν
20 καὶ τῆς περὶ τὸ ζῆν φυλακῆς. Σόλωνος δὲ τοῦ σοφοῦ εὐλόγιόν ἐστιν, ᾧ τὸν αὐτοῦ θάνατον οὔ φησι βούλεσθαι καθαρὸν λύπης εἶναι καὶ ὀλοφυρμῶν τῶν ἐπιτηδείων. ποθεινὸς γὰρ ὅδε, οἶμαι, τοῖς ἑαυτοῦ εἶναι βούλεται· ἀλλ᾽ ἴσως Ἔννιος ἄμεινον·

οὔτις κυδαίνων ἤπειτ᾽ ἐμὲ δάκρυ᾽ ἀφήσει,
25 οὐδὲ τάφον μοι θήσει λυγρὸν ἐπιστοναχίζων.

οὐ γὰρ οἴεται θρηνητέον εἶναι τὸν θάνατον, ᾧ γ᾽ ἀθανασία παρέπεται. ἤδη δ᾽ αἴσθησις μὲν τοῦ ἀποθνήσκειν εἴ τις καὶ εἴη, ἐπὶ χρόνον ἤ γε 74 ἀδρανῆ διαρκεῖ, ἄλλως τε καὶ γέροντι· μετὰ θάνατον ἤτοι εὐκταία ἢ οὐδεμία ἐστὶν αἴσθησις. ἀλλὰ γὰρ ἐκ νέου δεῖ ἔχειν μεμελετημένον
30 θανάτου καταφρονεῖν, ὡς ἄνευ ταυτησὶ τῆς μελέτης οὐκ ἐνόν τῳ ἔχειν τὴν ψυχὴν ἀθορύβως. ἀποθανεῖν γὰρ ὡς ἀληθῶς δεῖ, καὶ τοῦτ᾽ ἄδηλον, εἰ ἐν ταύτῃ γε τῇ ἡμέρᾳ. τὸν οὖν ὅσαι ὧραι ἐπηρτημένον θάνατον δεδιὼς τίς ἂν εὐσταθεῖν τὴν ψυχὴν οἷός τε εἴη; τούτου γε μὴν πέρι οὐχ οὕτω 75

τε **R** || 28 *μεμελετημένως* **BBrFHMOQV** -*μένος* **U** -*μένῶς* (ο superscr.) **Lv** || 29 *τῳ τὸ* **BCGMaPQ** *τὸ* om. cett., Edd. (praeter Hess) || 31 *γε* om. Edd. (praeter Hess) || 32 *τρεμίζειν* **V**

1 *ὅσων* **T** || 5 *ὅσων* **T** || 11 *ὑγιέσειν αἰσθήσειν* **T** || 13 *κατεσκεύασεν* **α** || 15 *ξυγκόλλυσις* **T** || 18 *προστάγματα* **T** || 22 *ὅδε* **α** *οἳ δ᾽* **T** || 28 *εὐκτέα* **T** || 29 *μεμελετημένως* **T**

νος διαλέξεως ἔοικε δεῖν, ὁπότε καὶ ἔχω ἐν νῷ οὐ Λεύκιον Βροῦτον, ὃς
ἐπ' ἐλευθερίᾳ τῆς πατρίδος ἀνῄρηται, οὐ τοὺς δύο Δεκίους, οἳ πρὸς αὐθαί-
ρετον μόρον τοὺς ἵππους συνέτειναν δρόμῳ, οὐ Μάρκον Ἀττίλιον, ὃς ἐπὶ
τιμωρίαν ἀπῆλθεν, ὅπως τὴν δοθεῖσαν τῷ πολεμίῳ πίστιν εἴη τετηρη-
κώς, οὐ τοὺς δύο Σκιπίωνας, οἳ καὶ τοῖς σφετέροις σώμασιν ἔφοδον τοῖς 5
Λίβυσιν ἀντιτάξασθαι ἠξιώκασιν, οὐ Λεύκιον Παῦλον, πάππον τὸν σόν,
ὃς εἰς θάνατον παραπολέλαυκε τῆς τοῦ συνάρχοντος ἐν τῇ περὶ Κάννας
ἀτιμίᾳ θρασύτητος, οὐ Μάρκον Μάρκελλον, ὃν ἀναιρεθέντα οὐδ' ὁ ἀπηνέ-
στατός γε πολέμιος τιμῆς στέρεσθαι ἐπιταφίου ἠνέσχετο, ἀλλ' αὐτὰ τὰ
ἡμέτερα τάγματα — ὃ δὴ κἂν ταῖς Ἀρχαιολογίαις ἀνέγραψα — εἰς τόπον 10
τοιοῦτον ἐφορμῶντα πολλάκις ἀκραιφνεῖ καὶ ἀπτῶτι ψυχῇ, ὅθεν οὐδέ-
ποτ' ἂν ἐδόκει ἐπανελθεῖν. οὗ τοίνυν νεανίσκοι, καὶ οὗτοι μὴ ὅτι ἀδίδακτοι,
ἀλλὰ καὶ ἀγροῖκοι, καταφρονοῦσι, τοῦτο γέροντες σοφοὶ καταπτήξουσι;
76 *παντάπασιν, ὥς γε ἐμοὶ δοκεῖ, ὁ περὶ ἑκάστην σπουδὴν κόρος καὶ βίου*
ἐναπεργάζεται κόρον. εἰσὶ μὲν γάρ τοι παιδὸς ἀποδεδειγμέναι σπουδαί· 15
μὴ γὰρ ταύτας ἐπιποθεῖ τὰ μειράκια; εἰσὶ δ' αὖ καὶ μειρακίων ἄλλαι τι-
νές· μῶν ταύτας ἤδη ἡ σταθερὰ ἡλικία μαστεύει, ἣ μέση καλεῖται; εἰσὶ
δὲ καὶ τῆσδε τῆς ἡλικίας· ἀλλ' οὐδ' αὗταί γε ὑπὸ γήρως ἐπιζητοῦνται.
εἰσὶ δὲ καὶ γήρως σπουδαί τινες τελευταῖαι· οὐκοῦν ὥσπερ αἱ τῶν ἀνωτέρω
ἡλικιῶν σπουδαὶ δύουσιν ἀεί, οὕτω καὶ αἱ τοῦ γήρως· οὗ δὴ παραγενομένου 20
ὁ τοῦ βίου κόρος καιρὸν τῷ θανάτῳ ἐπάγει ὡραῖον.

21
77 *Ἀλλ' ἔγωγε οὐχ ὁρῶ, τί ποτε λέγειν οὐ τολμῶ πρὸς ὑμᾶς, ἅττα αὐτὸς*
φρονῶ περὶ τοῦ θανάτου, ἅπερ ταύτῃ που βέλτιον ἀθρεῖν μοι δοκῶ, ᾗ δὴ
ἧσσον πόρρω τούτου ἀφέστηκα. ἐγὼ γὰρ τοὺς πατέρας ὑμῶν, ὦ Πόπλιε
Σκιπίων καὶ Γάιε Λαίλιε, τοὺς ἐνδοξοτάτους ἐκείνους καὶ προσφιλεστά- 25
τους μοι ἄνδρας, ζῆν ἡγοῦμαι, καὶ ταύτην γε τὴν ζωήν, ἣν μόνην χρὴ
ζωὴν ὀνομάζειν. καὶ γὰρ ἕως ἂν ὦμεν ἐγκατακεκλειμένοι ταῖς ἁλληλου-
χίαις ταῖσδε τοῦ σώματος, λειτουργίαν τινὰ ἀνάγκης καὶ ἔργον ἀνύομεν
ἐπαχθές. ἡ γάρ τοι ψυχὴ οὐράνιός ἐστιν ἐξ ὑπερκοσμίου οἰκήματος ἐκ-
πεπιεσμένη καὶ εἰς γῆν ὥσπερ βεβαπτισμένη, τόπον φύσει θείᾳ καὶ 30
ἀιδιότητι ἐναντίον. ἀλλὰ γὰρ πείθομαι τοὺς ἀεὶ ὄντας θεοὺς σκεδάσαι
δὴ τὰς ψυχὰς εἰς τἀνθρώπινα σώματα, ἵν' εἶεν οἵ τ' ἂν τῶν ἐπιγείων ἐπι-
μελοῖντο καὶ οἳ τὴν τῶν οὐρανίων εὐταξίαν θεωροῦντες μέτρῳ τε βίου καὶ

2 *αὐθαίρετον*] *ἑκούσιον* in mg. add. **CR** || 3 *μόρον*] *μόνον* **MaO** | *δρόμον συνέτειναν* **R** || 4 *τὴν*] *τήνδε* **Lv** || 5 *καὶ* om. **GMaO** || 6 *λύβισιν* **GO** || 7 *παραπεπόλαυκε* **Q** || 8 *ὃν* om. **Ma** | *ἀνεραιρεθέντα* **F** || 10 *τάγματα* om. **MaO** | *συνέγραψα* **B** || 11 *ἐφορμῶνται* **MV** || 12 *καὶ οὗτοι* iteravit **R** | *ὅτι* om. **GMaO** || 13 *τοῦτο*] *τοῦ* **U** || 14 *γ'* **Ma** || 15 *ἀναπεργάζεται* **Br** *ἂν ἀπεργάζεται* **BLPV** || 16–17 *ἐπιποθεῖ – ταύτας* om. **BLLvP** (in mg. add. **P**) || 16 *δ' αὖ* **BrCGHMQU** *δ' ἂν* **V** *γὰρ* cett. || 18 *τῆσδε* om. **R** Goez | *ἡλικίας*] *ἐκκλησίας* **BBrHLLvMP** (*ἡλικίας* in mg. add. **HL**, supra

μακρᾶς διαλέξεως ἔοικε δεῖν, ὁπότε καὶ ἔχω ἐν νῷ οὐ Λεύκιον Βροῦτον,
ὃς ἐπ᾽ ἐλευθερίᾳ τῆς πατρίδος ἀνήρηται, οὐ τοὺς δύο Δεκίους, οἳ πρὸς
θάνατον ἑκούσιον δρόμῳ τοὺς ἵππους ξυνέτειναν, οὐ Μάρκον Ἀττίλιον,
ὃς ἐπὶ τιμωρίαν ἀπῆλθεν, ὅπως τὴν δοθεῖσαν πίστιν τῷ πολεμίῳ τετηρη-
5 *κὼς εἴη, οὐ τοὺς δύο Σκιπίωνας, οἳ καὶ τοῖς σφετέροις σώμασιν ἔφοδον*
τοῖς Λίβυσιν ἀντιτάξασθαι ἠξιώκασιν, οὐ Λεύκιον Παῦλον, πάππον τὸν
σόν, ὃς εἰς θάνατον παραπολέλαυκε τῆς τοῦ συνάρχοντος ἐν τῇ περὶ
Κάννας ἀτιμίᾳ θρασύτητος, οὐ Μάρκον Μάρκελλον, ὃν ἀναιρεθέντα οὐδ᾽ ὁ
ἀπηνέστατός γε πολέμιος στέρεσθαι τιμῆς ἐπιταφίου ἠνέσχετο, ἀλλ᾽ αὐτὰ
10 *τὰ ἡμέτερα τάγματα — ὃ κἂν ταῖς Ἀρχαιολογίαις ἀνέγραψα — εἰς τόπον*
τοιοῦτον παρωρμημένα πολλάκις ἀκραιφνεῖ καὶ ἀπτῶτι ψυχῇ, ὅθεν
οὐδέποτ᾽ ἂν ἐδόκει ἐπανελθεῖν. οὗ τοίνυν νεανίσκοι, καὶ οὗτοι μὴ ὅτι
ἀδίδακτοι, ἀλλὰ καὶ ἀγροῖκοι, καταφρονοῦσι, τοῦτο γέροντες εὐπαίδευτοι
καταπτήξουσι; παντάπασιν, ὥς γ᾽ ἐμοὶ δοκεῖ, ὁ περὶ ἑκάστην σπουδὴν 76
15 *κόρος καὶ βίου κόρον ἐναπεργάζεται. εἰσὶ μὲν γάρ τοι παιδὸς ἀποδεδειγμέ-*
ναι σπουδαί· μὴ γὰρ ταύτας ἐπιποθεῖ τὰ μειράκια; εἰσὶ δ᾽ αὖ καὶ μειρα-
κίων ἄλλαι τινές· μῶν ταύτας ἤδη ἡ σταθερὰ ἡλικία μαστεύει, ἣ μέση
καλεῖται; εἰσὶ δὲ καὶ τῆσδε τῆς ἡλικίας· ἀλλ᾽ οὐδ᾽ αὗταί γε ὑπὸ γήρως
ἐπιζητοῦνται. εἰσὶ δὲ γήρως σπουδαί τινες τελευταῖαι· οὐκοῦν ὥσπερ αἱ
20 *τῶν ἀνωτέρω ἡλικιῶν αἱ σπουδαὶ δύουσιν ἀεί, οὕτω καὶ αἱ τοῦ γήρως·*
οὗ δὴ παραγενομένου ὁ τοῦ βίου κόρος καιρὸν ὡραῖον τῷ θανάτῳ ἐπάγει.
Ἀλλ᾽ ἔγωγε οὐχ ὁρῶ, τί λέγειν οὐ τολμῶ πρὸς ὑμᾶς, ἅπερ αὐτὸς φρονῶ **21** 77
περὶ τοῦ θανάτου, ἃ δὴ ταύτῃ που βέλτιον ἀθρεῖν μοι δοκῶ, ᾗ ἧττον
πρόσω τούτου ἀφέστηκα. ἐγὼ τοὺς πατέρας ὑμῶν, ὦ Πόπλιε Σκιπίων καὶ
25 *Γάιε Λαίλιε, τοὺς ἐνδοξοτάτους ἐκείνους καὶ φιλτάτους μοι ἄνδρας, ζῆν*
ἡγοῦμαι, καὶ ταύτην γε τὴν ζωήν, ἣν μόνον χρὴ ζωὴν ὀνομάζειν. καὶ γὰρ
ἕως ἂν ὦμεν ἐγκεκλειμένοι ταῖς ἀλληλουχίαις ταῖσδε τοῦ σώματος,
λειτουργίαν τινὰ ἀνάγκης καὶ ἔργον ἀνύομεν ἐπαχθές. ἡ γάρ τοι ψυχὴ
οὐράνιός ἐστιν ἐξ ὑπερκοσμίου οἰκήματος ἐκπεπιεσμένη καὶ εἰς γῆν
30 *ὥσπερ βεβαπτισμένη, τόπον φύσει θείᾳ καὶ ἀιδιότητι ἐναντίον. ἀλλὰ γὰρ*
πείθομαι τοὺς ἀεὶ ὄντας θεοὺς σκεδάσαι δὴ τὰς ψυχὰς εἰς τἀνθρώπινα
σώματα, ὅπως ὦσιν οἵ τ᾽ ἂν τῶν ἐπιγείων ἐπιμελοῖντο καὶ οἳ τὴν τῶν
οὐρανίων εὐταξίαν θεωροῦντες μέτρῳ τε βίου καὶ εὐσταθείᾳ ταύτην

ἐκκλησίας exhibet *ἡλικίας* **P**) | *γε* om. **P** || **19** *δὲ* om. **P** | *γήρως*] *τοῦ γήρως* **Ma** | *αἱ* om. **BHOR** Hess *καὶ* **L** || **20** *αἰεὶ* **MMaV** || **22** *οὐχ ὁλμῶ* **O** *οὐ ὁρμῶ* **Ma** || **23** *τοῦ* om. **Ma** | *δὴ*] *δ᾽* **GMa** || **24** *ἡμῶν* **P** || **25** *$\overset{αι}{λ}$έλιε* **Lv** || **26** *μόνην* **MV** *μόνον* cett., Hess || **27** *ἐγκατακεκλημένοι* **CQUac** *ἐγκατακεκλεισμένοι* **HV** *ἐγκατακε-κλιμένοι* **BLv** *ἐγκεκλειμένοι* **d** || **30** *ὥπερ* (in mg. add. *ὥσπερ*) **V** || **31** *ἀϊδιότητά* **L** | *σχεδάσαι* **P** *ἐχεδάσαι* **B** || **32** *ἐπιμελλοῖντο* **LvP** || **33** *καὶ*[2] om. **U**
4 *ἀπῆλθειν* **T** || **5** *σκηπίωνας* **T** || **8** *ὁδ᾽* **T** || **24** *σκηπίων* **T** || **25** *ξῆν* **T**

εὐσταθείᾳ ταύτην ἀπομιμοῖντο. καὶ ταῦτα οὐ μόνον λόγος τε καὶ διάλεξις οὕτω με πείθεσθαι ἀναγκάζει, ἀλλὰ καὶ τῶν ἄκρων δὴ φιλοσόφων τὸ 78 *εὐγενές τε καὶ ἔνδοξον. ἤκουον γὰρ Πυθαγόραν τε καὶ Πυθαγορείους, τοὺς ἡμετέρους σχεδόν τι ἐπιχωρίους, οἳ τὸ πάλαι Ἰταλικοὶ ἐκαλοῦντο φιλόσοφοι, μηδεπώποτ᾽ ἀμφισβητῆσαι, ὡς οὐκ ἐκ τοῦ καθόλου θείου* 5 *νοῦ ἀπορρυείσας ἔχοιμεν τὰς ψυχάς. ἀπεδείκνυτο δέ μοι πρὸς τούτοις καὶ ἅττα Σωκράτης τῇ τελευταίᾳ τοῦ βίου ἡμέρᾳ ἀθανασίας πέρι ψυχῶν διελέχθη, ὃς χρησμῷ τοῦ Ἀπόλλωνος σοφώτατος κέκριται ἁπάντων. ἀλλὰ τί δεῖ πολλὰ λέγειν; οὕτως ἔγωγ᾽ ἐμαυτὸν πείθω καὶ ταύτῃ φρονῶ, ὅτι, ἐπειδὴ τάχος τοσοῦτον ἔνεστι ταῖς ψυχαῖς καὶ τοσαύτη μνήμη μὲν* 10 *παρεληλυθότων, σύνεσις δὲ μελλόντων, καὶ τοσαῦται τέχναι, τοσαῦται ἐπιστῆμαι, τοσαῦτα εὑρήματα, οὐχ οἷόν τε τὴν περιέχουσαν ταῦτα φύσιν εἶναι θνητήν· καὶ ἐπειδὴ ψυχὴ κινεῖται ἀεὶ οὐδ᾽ ἀρχὴν κινήσεως ἔχει διὰ τὸ αὐτὴν ἑαυτὴν κινεῖν, μηδέ γε τέλος κινήσεως ἕξειν διὰ τὸ μηδέποτε αὐτὴν ἑαυτὴν καταλείψειν· καὶ ἐπειδὴ ἡ τῆς ψυχῆς φύσις ἐστὶν ἁπλῆ* 15 *οὐδ᾽ ἔχει τι ἐν ἑαυτῇ κεκραμένον διαφέρον αὐτῆς καὶ ἀνόμοιον, μὴ οἷόν τ᾽ εἶναι αὐτὴν διαιρεῖσθαι· ὅπερ εἰ μὴ δυνατόν, μηδ᾽ ἀπόλλυσθαι δυνατὸν εἶναι· τεκμήριόν τε μέγα τοῦ τοὺς ἀνθρώπους καὶ πρὶν γενέσθαι εἰδέναι πολλά, ὅτι παῖδες ἔτι ὄντες, τέχνας μανθάνοντες δυσχερεῖς, οὕτω ταχὺ μυρία χρήματα συναρπάζουσιν, ὥστε μὴ τότε αὐτὰ πρῶτον ἀναλαμβάνοντες,* 20 *ἀλλ᾽ ἀναμιμνῃσκόμενοι καὶ διαλογιζόμενοι φαίνεσθαι. καὶ ταῦτα μὲν Πλάτωνος.*

22 79 *Παρὰ Ξενοφῶντι δὲ Κῦρος ὁ πρεσβύτερος ἀποθνήσκων ὧδέ φησι· ‘μὴ οἴεσθε’, ἔφη, ‘ὦ φίλοι παῖδες, ὡς οὐδὲν ⟨ἢ⟩ οὐδαμοῦ ἐγὼ ἔσομαι, ἐπειδὰν ἀφ᾽ ὑμῶν ἀποχωρήσω· οὐδὲ γάρ, ὅτε ἦν μεθ᾽ ὑμῶν, τὴν ἐμὴν ψυχὴν* 25 *ἑωρᾶτε, ἀλλ᾽ οἷς διεπραττόμην, τούτοις αὐτὴν ὡς οὖσαν ἐν τῷ σώματι τούτῳ κατεφωρᾶτε· τὴν αὐτὴν τοίνυν πείθεσθε εἶναι, κἂν εἰ μηδὲν ἔτι* 80 *ἔχοιτε ὁρᾶν. οὐδὲ γὰρ ἂν τῶν ἐλλογίμων ἀνδρῶν μετὰ θάνατον αἱ τιμαὶ διέμενον, εἰ μηδὲν αὐτῶν αἱ ψυχαὶ ἀπετέλουν, ᾧ τὴν μνήμην αὐτῶν ἂν συντηροίημεν χρονιώτερον. οὕτως ἔγωγε οὐδεπώποτ᾽ ἐπείσθην, ὡς ἡ* 30 *ψυχή, ἕως ἂν ᾖ ἐν θνητῷ σώματι, ζῇ, ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν, οὐδέ γε ὅπως ἄφρων ἔσται ψυχή, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται· ἀλλ᾽ ὅταν ἄκρατος ὁ νοῦς ἐκκριθεὶς εἰλικρινής τε καὶ ἀκέραιος ἄρχηται*

1 *εὐσταθίᾳ* **GMaOQR** Edd. (praeter Hess) | *ἀπομιλοῖντο* **Race** || 3 *τε*[1] om. **P** | *καὶ*[2]] *καὶ τοὺς* **R** Goez Hess | *πειθαγορείους* **Q** || 4 *τι*] *τοι* **BHLvMP** || 5 *οὐκ* om. **LvP** | *ἐκ* om. **C** || 7 *ἡμέρᾳ* om. **LLvRU** Goez Hess *ἡμέρας* **HP** *ἡμετέρας* **Ma** || 8 *διηλέχθη* **C** | *τοῦ*] *τὸ* **R** || 9 *ἀλλὰ* om. **d** | *ἔγωγ᾽* **MV** *ἔγωγε* cett. || 10 *τῆς ψυχῆς* **Ma** || 11 *παραληλυθότων* **BP** *παρ͂ἀληλυθότων* **L** || 14 *τὸ*[1] om. **P** | *γε* om. **LvP** | *διὰ τὸ* om. (sed in mg. add.) **L** || 16 *ἑαυτῇ*] *αὐτῇ* **Ma** | *καὶ* om. **B** || 17 *τε* **GMa** || 20 *χρήματα*] *πράγματα* **Q** | *συναρτάξουσιν* **V** | *πρῶτον* om. **P** || 21 *ἀνα-*

ἀπομιμοῖντο. καὶ ταῦτ᾽ οὐ μόνον λόγος τε καὶ διάλεξις οὕτω με πείθεσθαι
ἀναγκάζει, ἀλλὰ καὶ τῶν ἄκρων φιλοσόφων τὸ εὐγενὲς καὶ ἔνδοξον.
ἤκουον γὰρ Πυθαγόραν τε καὶ Πυθαγορείους, τοὺς ἡμετέρους σχεδόν τι 78
ἐπιχωρίους, οἳ τὸ πάλαι Ἰταλικοὶ φιλόσοφοι ἐκαλοῦντο, μηδεπώποτ᾽ ἀμ-
5 φισβητῆσαι, ὡς οὐκ ἐκ τοῦ καθόλου θείου νοῦ ἀπορρυείσας ἔχοιμεν τὰς
ψυχάς. ἐπεδείκνυτο δέ μοι πρὸς τούτοις καὶ ἅττα διελέχθη Σωκράτης τῇ
τελευταίᾳ τοῦ βίου ἡμέρᾳ ἀθανασίας πέρι ψυχῶν, ὃς χρησμῷ Ἀπόλλωνος
σοφώτατος ἐκρίθη πάντων. ἀλλὰ τί δεῖ πολλὰ λέγειν; οὕτως ἐμαυτὸν
πείθω καὶ οὕτω φρονῶ, ὅτι, ἐπειδὴ τάχος τοσοῦτον ἔνεστι ταῖς ψυχαῖς
10 καὶ τοσαύτη μνήμη μὲν παρεληλυθότων, ξύνεσις δὲ μελλόντων, καὶ
τοσαῦται τέχναι, τοσαῦται ἐπιστῆμαι, τοσαῦτα εὑρήματα, οὐχ οἷόν τε
ταύτην τὴν φύσιν τὴν περιέχουσαν ταῦτα εἶναι θνητήν· καὶ ἐπειδὴ ψυχὴ
κινεῖται ἀεὶ οὐδ᾽ ἀρχὴν κινήσεως ἔχει διὰ τὸ αὐτὴν ἑαυτὴν κινεῖν, μηδέ γε
τέλος κινήσεως ἕξειν διὰ τὸ μηδέποτε αὐτὴν ἑαυτὴν καταλείψειν· καὶ
15 ἐπειδὴ ἡ τῆς ψυχῆς φύσις ἐστὶν ἁπλῆ οὐδ᾽ ἔχει τι ἐν ἑαυτῇ κεκραμένον
διαφέρον αὐτῆς καὶ ἀνόμοιον, μὴ οἷόν τ᾽ εἶναι αὐτὴν διαιρεῖσθαι· ὅπερ εἰ
μὴ δυνατόν, μηδ᾽ ἀπόλλυσθαι δυνατὸν εἶναι· τεκμήριόν τε μέγα τοῦ τοὺς
ἀνθρώπους καὶ πρὶν γενέσθαι εἰδέναι πολλά, ὅτι παῖδες ἔτι ὄντες, τέχνας
μανθάνοντες δυσχερεῖς, οὕτω ταχὺ μυρία χρήματα συναρπάζουσιν, ὥστε
20 μὴ τότε αὐτὰ πρῶτον ἀναλαμβάνοντες, ἀλλ᾽ ἀναμιμνησκόμενοι καὶ
ἀναλογιζόμενοι φαίνεσθαι. καὶ ταῦτα μὲν σχεδόν τι Πλάτωνος.

Παρὰ Ξενοφῶντι δὲ Κῦρος ὁ πρεσβύτερος ἀποθνήσκων ὧδέ φησι· 22 79
'μὴ οἴεσθε', ἔφη, 'ὦ φίλοι παῖδες, ὡς οὐδὲν ⟨ἢ⟩ οὐδαμοῦ ἐγὼ ἔσομαι,
ἐπειδὰν ἀφ᾽ ὑμῶν ἀποχωρήσω· οὐδὲ γάρ, ὅτε ἦν μεθ᾽ ὑμῶν, τὴν ἐμὴν
25 ψυχὴν ἑωρᾶτε, ἀλλ᾽ οἷς διεπραττόμην, τούτοις αὐτὴν ὡς οὖσαν ἐν τῷ
σώματι τούτῳ κατεφωρᾶτε· τὴν αὐτὴν τοίνυν πείθεσθε εἶναι, κἂν εἰ
μηδὲν ἔτι ἔχοιτε ὁρᾶν. οὐδὲ γὰρ ἂν τῶν ἐλλογίμων ἀνδρῶν μετὰ θάνατον 80
αἱ τιμαὶ διέμενον, εἰ μηδὲν αὐτῶν αἱ ψυχαὶ ἀπετέλουν, ᾧ τὴν μνήμην
αὐτῶν ἂν συντηροίημεν χρονιώτερον. οὕτως ἔγωγε οὐδεπώποτ᾽ ἐπείσθην,
30 ὡς ἡ ψυχή, ἕως ἂν ᾖ ἐν θνητῷ σώματι, ζῇ, ὅταν δὲ τούτου ἀπαλλαγῇ,
τέθνηκεν, οὐδέ γε ὅπως ἄφρων ἔσται ψυχή, ἐπειδὰν τοῦ ἄφρονος σώματος
δίχα γένηται· ἀλλ᾽ ὅταν ἄκρατος ὁ νοῦς ἐκκριθεὶς εἰλικρινής τε καὶ

μιμνησόμενοι **BBrLvP** (-μνῆσό- **L**, σκ supra) | μὲν om. **Lv** || 24 οἴεσθαι **BP** οἴεσθαι (ε supra) **L** | ἢ supplevi || 25 ἀποχωρήσω – ὑμῶν om. **U** | ἀναχωρήσω **Q** || 26 ἐπραττόμην **V** ἐπραττόμεν **M** | τούτοις] ταύτην **R** | αὐτοῦ (in mg. add. αὐτὴν) **L** || 27 πείθεσθαι **BMaOP** πείθεσθαι (ε supra) **L** || 28 ἔχειτε **COQU** | ἂν om. **O** || 30 συντηρήοιμην **BBrL** συντηροῖμεν **d** || 31 θνητῷ] τῷ **BLLvMPV** (ante τῷ trium litterarum spatium reliquit **L**) || 33 ἄκρατος] ἄκρα **U**

23 ἢ supplevi || 24 ἡμῶν[1] **T** || 32 ῥοῦς **T**

*εἶναι, τότε καὶ φρονιμώτερός ἐστι. θανάτῳ δὲ διαλυομένης τῆς τοῦ ἀν-
θρώπου φύσεως τῶν μὲν ἄλλων εὔδηλον ὅπου ἕκαστα μεταλλάττει· ἄπεισι
γὰρ ἐκεῖσε πάντα, ὅθεν προῆλθεν, ἡ ψυχὴ δὲ μόνη οὔτε παροῦσα οὔτε*
81 *ἀπιοῦσα ὁρᾶται. ἐννοήσατε δ' ὅτι ἐγγύτερον μὲν τῶν ἀνθρωπίνων θανάτῳ
οὐδέν ἐστιν ὕπνου. αἱ ψυχαὶ δὲ τότε δήπου τῶν κοιμωμένων θειόταται* 5
*καταφαίνονται· πολλὰ γὰρ τῶν μελλόντων ἀνειμέναι οὖσαι καὶ ἐλεύθεραι
προορῶσιν. ὅθεν ἔστιν ἰδεῖν, ὁποῖαί τινες ἔσονται, ἐπειδὰν παντελῶς τῶν
δεσμῶν ἀπολυθῶσι τοῦ σώματος. εἰ μὲν οὖν ταῦθ' οὕτως ἔχει, ὡς θεὸν
ἐμὲ τιμᾶτε καὶ θεραπεύετε· εἰ δ' ἄρα συναποθνήσκει τῷ σώματι ἡ ψυχή,
ἀλλ' ὑμεῖς γε θεοὺς φοβούμενοι, οἳ τήνδε τὴν τῶν ὅλων τάξιν καὶ καλλο-* 10
*νὴν συγκρατοῦσιν ἀτριβῆ τε καὶ ἀναμάρτητον, μνήμην ἡμῶν εὐσεβῶς τε
καὶ ἀνεκβιάστως φυλάξετε.'*

23
82 *Κῦρος μὲν οὖν τελευτῶν τὸν βίον ἐκεῖνα· ἡμεῖς δέ, εἰ δοκεῖ, τὰ ἡμέτερα
αὐτῶν θεωρῶμεν. οὐδείς με οὐδέποτε πείσει, ὦ Σκιπίων, ὡς ἢ Πόπλιος
ὁ σὸς πατὴρ ἢ οἱ δύο πάπποι, Παῦλος καὶ Ἀφρικανός, ἢ ὁ Ἀφρικανοῦ* 15
*πατὴρ ἢ ὁ πρὸς πατρὸς θεῖος ἢ ἄλλοι πολλοὶ τῶν ἀρίστων, οὓς νῦν ἐξαριθ-
μῆσαι ἀναγκαῖον οὐδέν, τηλικαῦτα διηγωνίσαντο ἂν εἰς μνήμην τῶν ἐν
τῷ ἔπειτ' ἀνθρώπων φέροντα, εἰ μὴ εἶχον τῇ ψυχῇ διορᾶν τὰ τῶν μετα-
γενεστέρων εἰς σφᾶς τείνοντα αὐτούς. ἢ ἐμὲ οἴει, ἵνα τι καὶ περὶ ἐμαυτοῦ
γερόντων ἔθει αὐχήσωμαι, πόνους ἂν τοσούτους ἡμέρας τε καὶ νυκτὸς οἴκοι* 20
*τε καὶ ἐν στρατείαις ἀνατλῆναι, εἴ που τοῖς αὐτοῖς ὅροις τὴν ἐμαυτοῦ
εὔκλειαν οἷς καὶ τὸν βίον ἔμελλον ὁριεῖν; ἆρ' οὐκ ἂν πολὺ κάλλιον ἦν βίον
σχολαῖόν τε καὶ ἡσύχιον πραγμάτων χωρὶς καὶ φιλονεικίας διάγειν;
ἀλλ' οὐκ οἶδα ὅπως ἡ ψυχὴ ἑαυτὴν ἀνορθοῦσα τὰ τῶν ὑστέρων οὕτως
ἀεὶ προεώρα, ὥσπερ εἰ τότε μέλλουσα ζῆν, ὅταν ἀπαγάγῃ τῆς ἐνθάδε* 25
*ζωῆς. καὶ τόδε μὲν δὴ εἰ μὴ οὕτως εἶχεν, ἀθανάτους δηλαδὴ τὰς ψυχὰς
εἶναι, σχολῇ γ' ἂν τῶν βελτίστων ἑκάστου ψυχὴ μάλιστα ἠπείγετο πρὸς*
83 *δόξαν ἀθανασίας ἀγήρων. τί δέ; πᾶς μὲν σοφώτατος ἀταλαιπώρῳ ψυχῇ
τελευτᾷ τὸν βίον, ἀβελτερώτατος δὲ ταλαιπωροτάτῃ. ἆρ' οὐχὶ καὶ ὑμῖν
δοκεῖ, ὡς ἐκείνη μὲν ἡ ψυχὴ ἡ πλέον τι διορῶσα καὶ πορρωτέρω εἰς ἀμείνω* 30
*λῆξιν ἑαυτὴν ἀπιοῦσαν ὁρῴη, αὕτη δέ, ἧς τὸ ὄμμα ἀμβλύτερον, οὐδὲν
ἔχοι ὁρᾶν; ἔγωγε οὖν ἐκφέρομαι σπουδῇ τοῦ τοὺς ὑμετέρους πατέρας*

2 *εὔδηλον* **CGOQR** *ἔκδηλον* cett., Hess (*ἔνδηλον* **U**) | *μεταλλάττειν* **CU** *μετά*[λ]*-λάττει* **G** || 3 *μόνον* **GMaO** | *παρὰ σοῦ* **BLP** (in mg. add. *παροῦσα* **LP**) || 4 *δέ, ὅτι* **MaQR** Hess | *τῷ ἀνθρωπίνῳ* **Ma** Hess || 5 *δὲ* om. **B** || 7 *ὅθεν ἔστιν* om. **O** || 8 *οὖν*] *οὐκ* **M** om. **LvP** || 9 *θεραπεύεται* **Lv** || 10 *γε*] *τε* **G** | *καλόνην* **Ma** || 11 *τε*[1] om. **R** Goez || 12 *φυλάξατε* **GOQR** *φυλάξ*[α]*ετε* **V** *φυλάξεται* **C** || 13 *ἐκεῖνα ἔφρασεν* **Ma** | *δοκοίη* **BBrHLLvMPV** || 14 *Πόπλιος*] *ὁ πόπλιος* **V** || 15 *οἱ* om. **d** || 16 *πολλοὶ* om. Goez | *ἐξαριθμεῖσθαι* **BBrLvMPV** *ἐξαριθμῆσθαι* **FH** *ἐξαριθμῆται* **e** || 18 *ἔπειτα* **GMa** | *εἰ*] *ὁ* **BL** (*εἰ* in mg. add. **L**) || 19 *τι* om. **BBrHLP** | *καὶ* om. Goez || 20 *καυχή-*

ἀκέραιος ἄρχηται εἶναι, τότε καὶ φρονιμώτερός ἐστι. θανάτῳ δὲ διαλυομένης τῆς τοῦ ἀνθρώπου φύσεως τῶν μὲν ἄλλων ἔκδηλον ὅπου ἕκαστα μεταλλάττει· ἄπεισι γὰρ ἐκεῖσε πάντα, ὅθεν προῆλθεν, ἡ ψυχὴ δὲ μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. ἐννοήσατε δ' ὅτι ἐγγύτερον μὲν τῶν 81
5 *ἀνθρωπίνων θανάτῳ οὐδέν ἐστιν ὕπνου. αἱ ψυχαὶ δὲ τότε δήπου τῶν κοιμωμένων θειόταται καταφαίνονται· πολλὰ γὰρ τῶν μελλόντων ἀνειμέναι οὖσαι καὶ ἐλεύθεραι προορῶσιν. ὅθεν καὶ ἔστιν ἰδεῖν, ὁποῖαί τινες ἔσονται, ἐπειδὰν παντελῶς τῶν δεσμῶν ἀπολυθῶσι τοῦ σώματος. εἰ μὲν ταῦτα οὕτως ἔχει, ὡς θεὸν ἐμὲ τιμᾶτε καὶ θεραπεύετε· εἰ δ' ἄρα*
10 *συναποθνήσκει τῷ σώματι ἡ ψυχή, ἀλλ' ὑμεῖς θεούς γε φοβούμενοι, οἳ τήνδε τὴν τῶν ὅλων τάξιν καὶ καλλονὴν συγκρατοῦσιν ἀτριβῆ τε καὶ ἀναμάρτητον, μνήμην ἡμῶν εὐσεβῶς τε καὶ ἀνεκβιάστως φυλάξετε.'*

23 82
Κῦρος μὲν οὖν τελευτῶν τὸν βίον ἐκεῖνα· ἡμεῖς δέ, εἰ δοκεῖ, ἐπισκεψώμεθα τὰ ἡμέτερα. οὐδείς με οὐδέποτε πείσει, ὦ Σκιπίων, ὡς ἢ Πόπλιος
15 *ὁ σὸς πατὴρ ἢ οἱ δύο πάπποι, Παῦλος καὶ Ἀφρικανός, ἢ ὁ Ἀφρικανοῦ πατὴρ ἢ ὁ πρὸς πατρὸς θεῖος ἢ ἄλλοι πολλοὶ ἄνδρες ἔξοχοι, οὓς οὐκ ἀναγκαῖον ἐξαριθμῆσαι, τηλικαῦτα διηγωνίσαντο ἂν εἰς μνήμην τῶν ἐν τῷ ἔπειτ' ἀνθρώπων, εἰ μὴ εἶχον τῇ ψυχῇ διορᾶν τὰ τῶν μεταγενεστέρων πρὸς ἑαυτοὺς συντείνοντα. ἢ ἐμὲ οἴει, ἵνα τι καὶ περὶ ἐμαυτοῦ γερόντων*
20 *ἔθει μεγαλαυχήσωμαι, πόνους ἂν τοσούτους ἡμέρας τε καὶ νυκτὸς οἴκοι τε καὶ ἐν στρατείαις ἀναδέξασθαι, εἴ που τοῖς αὐτοῖς ὅροις τὴν ἐμὴν εὔκλειαν οἷς τὸν βίον ἔμελλον ὁριεῖν; ἆρ' οὐκ ἂν πολὺ κάλλιον ἦν βίον σχολαῖόν τε καὶ ἡσύχιον πόνου χωρὶς καὶ φιλονεικίας διάγειν; ἀλλ' οὐκ οἶδα ὅπως ἡ ψυχὴ ἑαυτὴν ἀνορθοῦσα τὰ τῶν ὑστέρων οὕτως ἀεὶ προεώρα,*
25 *ὥσπερ εἰ τότε μέλλουσα ζῆν, ὅταν ἀπαγάγῃ τῆς ἐνθάδε ζωῆς. τόδ' εἰ μὴ οὕτως εἶχεν, ἀθανάτους δηλαδὴ τὰς ψυχὰς εἶναι, σχολῇ γ' ἂν τῶν βελτίστων ἑκάστου ψυχὴ μάλιστα ἠπείγετο πρὸς ἀθανασίας δόξαν ἀείμνηστον. τί δέ; πᾶς μὲν σοφώτατος ἀταλαιπώρῳ ψυχῇ τελευτᾷ τὸν* 83
βίον, μωρότατος δὲ ταλαιπωροτάτῃ. ἆρ' οὐχὶ καὶ ὑμῖν δοκεῖ, ὡς ἐκείνη
30 *μὲν ἡ ψυχὴ ἡ πλέον τι διορῶσα καὶ πορρωτέρω εἰς ἀμείνω λῆξιν ἑαυτὴν ἀπιοῦσαν ὁρῴη, αὕτη δέ, ἧς τὸ ὄμμα ἀμβλύτερον, οὐδὲν ἔχοι ὁρᾶν; ἔγωγε οὖν ἐκφέρομαι σπουδῇ τοῦ τοὺς ὑμετέρους πατέρας θεάσασθαι,*

σομαι **MaV** ‖ **21** *ἀναπλῆναι* (in mg. add. *ἀνατλῆναι*) **C** | *ὅροις* om. **CGMaOU** ‖ **22** *καὶ* om. **M** ‖ **22–23** *ἆρ' – διάγειν* om. **MP** (sed utriusque codicis margini haec verba adscripta sunt) ‖ **22** *οὖν κἂν* **Lv** ‖ **24** *οἶδ'* **Ma** | *ἑαυτὸν* **U** ‖ **25** *μέλουσα* **Br** | *ἐνταῦθα* (in mg. add. *ἐνθάδε*) **Q** ‖ **26** *οὕτως* om. **R** ‖ **27** *ἠπείγεται* **BLvP** *ἠπείγετᾶι* **L** ‖ **28** *παῖς* (in mg. add. *πᾶς*) **C** *πῶς* **U** | *μὲν* om. **P** ‖ **29** *ταλαιπωροτάτω* **d** | *ἡμῖν* **Lv** ‖ **30** *διωρῶσα* **B** *διώ̊ρῶσα* **L** ‖ **31** *δέ* om. **O** *καὶ* **GMa** ‖ **32** *πατέρας* **R** om. cett., add. in mg. **C**

7 *ἐλευθέρα* **T** ‖ **9** *θεραπεύεται* **T** ‖ **12** *φυλάξατε* **T** ‖ **14** *σκηπίων* **T** ‖ **30** *λῆξειν* **T**

θεάσασθαι, οὓς στέργων τε καὶ θεραπεύων διατετέλεκα. οὐδ᾽ ἄρα τούτους
μόνον ἔχω εὑρεῖν, οὕσπερ ἔγνων ἐγώ, ἀλλὰ καὶ ὧν πέρι ἤκουσα καὶ ἀνέ-
γνων καὶ αὐτὸς τυγχάνω συγγεγραφώς. οἶ δὴ προχωροῦντά με οὐδεὶς
ἂν οἶμαι εὐχερῶς ἀποτρέψειεν οὐδ᾽ ὥσπερ σφαῖραν ἀντικόψας ἀποσφαιρί-
σειε. κἂν τις θεῶν μοι δωρῆται ἐκ τῆσδε τῆς ἡλικίας ἀνανηπιοῦσθαι καὶ 5
πάλιν βαβάζειν ἐν κίσταις, σφόδρα ἂν παραιτοίμην ⟨οὐδ᾽ ἔσθ᾽ ὅπως βου-
λοίμην⟩ δόλιχον οἷόν τινα ἐκδραμὼν ἐκ τοῦ τέρματος αὖ ἐπὶ τὴν βαλβῖδα
84 *μετακαλεῖσθαι. τί γὰρ σύμφορον ἔχει ὁ βίος; τί δ᾽ οὐ μᾶλλον ἐπίπονον;*
εἰ δὲ μή, καὶ ἐχέτω τι, ἀλλ᾽ ἔχει δήπου καὶ εἴτε κόρον εἴτε μέτρον δέοι
καλεῖν· οὐ γάρ τοι φίλον ἐμοὶ ὀλοφύρεσθαι τὸν βίον, ὃ πολλοὶ δι᾽ ἀπαι- 10
δευσίαν πολλάκις φαίνονται δεδρακότες· οὐδέ τίς με τοῦ ζῆσαι ἔχει
μετάμελος, ἐπειδὴ οὕτως ἔζησα, ὥστε μὴ μάτην οἴεσθαι γεγενῆσθαι,
κἀκ τῆς ζωῆς ὡς ἐκ πανδοχείου καὶ οὐχ ὡς ἐξ οἴκου ἀναχωρῶ· διατριβῆς
γὰρ καταγώγιον, ἀλλ᾽ οὐ κατοικίαν ἡ φύσις ἡμῖν ἐδεδώκει. ὢ τοίνυν
λαμπροτάτης ἡμέρας, ᾗ ἐγὼ παρὰ τὴν θείαν τῶν ψυχῶν ὁμήγυριν καὶ 15
τὸν ὅμιλον ἄπειμι, ᾗ τε ἐκ τῆς ἐνθάδε τύρβης καὶ τοῦ χλήδου ποτὲ
ἀπαλλάξω. πορεύσομαι γάρ τοι οὐ μόνον παρ᾽ ἄνδρας, οὓς ἄρτι ἔφην, ἀλλὰ
καὶ ὡς Κάτωνα τὸν ἐμόν, οὗ γ᾽ ἀνὴρ βελτίων ἐγένετο οὐδὲ εἷς, οὐδεὶς
διαφορώτερος τὴν εὐσέβειαν, οὗ τὸ μὲν σῶμα ἐμβέβληται ὑπ᾽ ἐμοῦ τῇ
πυρᾷ, δέον τοὐναντίον ὑπ᾽ ἐκείνου τοὐμόν, ἡ ψυχὴ δὲ οὐκ ἐγκαταλιμπάνου- 20
σά με, ἀλλ᾽ ἐντροπαλιζομένη πως ὡς ἐκεῖνον οἴχεται ἀπιοῦσα τὸν χῶρον,
οἷ ἐμοὶ πορευτέα εἶναι κεῖνος ἐγίνωσκεν. ἣν δὴ ἐγὼ συμφορὰν γενναίως
πως ἔδοξα ἐνεγκεῖν, οὐχ ὡς φέρων ἀλύπως, ἀλλὰ παραμυθούμενος ἐμαυ-
τόν, ὡς μὴ μακράν τινα οἰόμενος τὴν καθ᾽ ἡμᾶς διάζευξίν τε καὶ ἀποχώ-
85 *ρησιν ἔσεσθαι. τούτοις ἐμοί, ὦ Σκιπίων — τουτὶ γὰρ εἰωθέναι ἔφησας* 25
θαυμάζειν μετὰ Λαιλίου — ἀνεπαχθὲς τὸ γῆράς ἐστι καὶ οὐχ ὅπως τι
χαλεπόν, ἀλλὰ καὶ ἡδύ· ὥστε εἰ ταύτῃ που ἁμαρτάνω, ᾗ τὰς τῶν ἀνθρώ-
πων ψυχὰς ἀθανάτους πείθομαι εἶναι, ἄσμενος ἁμαρτάνω, οὐδέ τι μὰ
Δί᾽ αἱροῦμαι τὸ ἁμάρτημα, ὃ χαίρω δὴ ἁμαρτάνων τοῦτο, ἕως ἂν ζῶ,
ἐξαιρεθῆναι ἀπ᾽ ἐμαυτοῦ, εἴ γε μετὰ θάνατον, ὥς τινες κολοβοὶ φιλόσο- 30
φοι οἴονται, οὐδενὸς ἐπαισθήσομαι ἔτι· δέος γὰρ οὐδὲν οὕτω, μὴ τοῦ ἐμοῦ
τουτοὶ πλάνου οἱ τοιοῦτοι φιλόσοφοι ἀποθανόντες καταγελῶσιν. ὥστ᾽ εἰ
μὴ καὶ ἀθάνατοι εἶναι μέλλομεν, ἀλλ᾽ οὖν ἀνθρώπῳ εὐκταῖον κατασβέν-

2 *μόνους* **Ma** | *ὧν*] *οὖν* **Ma** || 3 *χωροῦντά* **BBrHLLvPV** || 6 *βαβάζειν ἐν κίσταις* **FGMaOQU** *ἐν κοιτίδι βαβάζειν* cett. (*βαβάζειν ἐν κίσ-* relicto quattuor litterarum spatio **C**) | *παραιποίμην* **U** *παρεποίμην* (in mg. *παραιποίμην*) **C** | *οὐδ᾽ — βουλοίμην* *β* || 8 *συμφέρον* **BLP** *σύμφθορον* **G** | *τί*] *τὸ* **P** | *μάλιστα* **Q** || 9 *δεῖ* **d** || 10 *πολλοὶ καὶ* **LvP** Hess || 11 *καὶ δεδρακότες* **BLP** | *ζῆν* **MV** | *ἔχω* **O** || 12 *μετάμελως* **BLvMPVac** *μετάμελῶς* **L** || 13 *παντοχείου* **U** *πανδοχίου* **R** || 14 *ἡμῖν*

οὓς ἀσπαζόμενος καὶ θεραπεύων διατετέλεκα. οὐδ᾽ ἄρα τούτους μόνον
ἔχω εὑρεῖν, οὕσπερ ἔγνων ἐγώ, ἀλλὰ καὶ ὧν πέρι ἤκουσα καὶ ἀνέγνων
καὶ αὐτὸς τυγχάνω συγγεγραφώς. οἵ δὴ προχωροῦντά με οὐδεὶς εὐχερῶς
ἀποτρέψειεν οὐδ᾽ ὥσπερ σφαῖραν ἀντικρούσας ἀνασοβήσειε. κἂν τις θεῶν
5 *μοι δωρῆται ἐκ τῆσδε τῆς ἡλικίας ἀνανηπιωθῆναι καὶ βαβάζειν πάλιν ἐν*
κίσταις, σφόδρα ἂν παραιτοίμην οὐδ᾽ ἔσθ᾽ ὅπως βουλοίμην οἷόν τινα
δόλιχον ἐκδραμὼν ἐκ τοῦ τέρματος αὖ ἐπὶ τὴν νύσσαν ἀνακαλεῖσθαι. τί
γὰρ σύμφορον ἔχει ὁ βίος; τί δ᾽ οὐ μᾶλλον ἐπίπονον; εἰ δὲ μή, καὶ ἐχέτω, 84
ἀλλ᾽ ἔχει δήπου καὶ εἴτε κόρον εἴτε μέτρον δέοι καλεῖν· οὐ γὰρ φίλον ἐμοὶ
10 *τὸν βίον ὀδύρεσθαι, ὃ πολλοὶ δι᾽ ἀπαιδευσίαν πολλάκις ἔδρασαν· οὐδέ τίς*
με τοῦ ζῆσαι μετάμελος ἔχει, ἐπειδὴ οὕτως ἔζησα, ὥστε μὴ μάτην
οἴεσθαι γεγενῆσθαι, κἀκ τῆς ζωῆς ὡς ἐκ πανδοχείου, οὐχ ὡς ἐξ οἴκου
ἀναχωρῶ· διατριβῆς γὰρ καταγώγιον, ἀλλ᾽ οὐ κατοικήσεως ἡ φύσις
ἡμῖν ἐδεδώκει. ὢ τοίνυν λαμπροτάτης ἡμέρας, ἣν ἐγὼ πρὸς ἐκείνην τὴν
15 *θείαν τῶ⟨ν ψυχῶν⟩ ὁμήγυριν καὶ τὸν ὅμιλον ἀπελεύσομαι, ἥν τε ἐκ τῆς*
ἐνθάδε τύρβης καὶ τοῦ συρφετοῦ ἀπαλλάξω. πορεύσομαι γὰρ οὐ μόνον
παρ᾽ ἄνδρας, οὓς ἄρτι ἔφην, ἀλλὰ καὶ ὡς Κάτωνα τὸν ἐμόν, οὗ γ᾽ ἀνὴρ
βελτίων ἐγένετο οὐδὲ εἷς, οὐδεὶς διαφορώτερος τὴν εὐσέβειαν, οὗ τὸ μὲν
σῶμα ἐμβέβληται ὑπ᾽ ἐμοῦ τῇ πυρᾷ, δέον τοὐναντίον τοὐμὸν ὑπ᾽ ἐκείνου,
20 *ἡ ψυχὴ δὲ οὐκ ἐγκαταλείπουσά με, ἀλλ᾽ ἐντροπαλιζομένη ὡς ἐκεῖνον*
οἴχεται ἀπιοῦσα τὸν χῶρον, οἷ ἐμοὶ πορευτέα εἶναι κεῖνος ἐγίνωσκεν. ἣν
δὴ ἐγὼ ξυμφορὰν γενναίως ἐνεγκεῖν ἔδοξα, οὐχ ὡς φέρων ἀλύπῳ ψυχῇ,
ἀλλὰ παραμυθούμενος ἐμαυτόν, ὡς μὴ μακρὰν τὴν καθ᾽ ἡμᾶς διάζευξίν
τε ⟨καὶ ἀποχώρησιν⟩ οἰόμενος ἔσεσθαι. τούτοις ἐμοί, ὦ Σκιπίων — τουτὶ
25 *γὰρ εἰωθέναι ἔφησθα μετὰ Λαιλίου θαυμάζειν — κοῦφον τὸ γῆράς ἐστι* 85
καὶ οὐχ ὅπως χαλεπόν, ἀλλὰ καὶ ἡδύ· ὥστε εἰ ταύτῃ πλανῶμαι, ᾗ τὰς τῶν
ἀνθρώπων ψυχὰς ἀθανάτους πείθομαι εἶναι, ἀσμένως πλανῶμαι, οὐδέ τι
βούλομαι τὴν πλάνην ταύτην, ᾗ ἥδομαι, ἕως πως ζῶ, ἀπ᾽ ἐμοῦ τοι
ἐξαιρεθῆναι, εἴ γε μετὰ θάνατον, ὥς τινες φιλόσοφοι κολοβοὶ δοξάζουσιν,
30 *οὐδενὸς ἐπαισθήσομαι, οὐδέ τιν᾽ εὐλάβειαν, μὴ τῆς ἐμῆς ταυτησὶ πλάνης*
οἱ τοιοῦτοι φιλόσοφοι ἀποθανόντες καταγελάσειαν. ὥστ᾽ εἰ καὶ μὴ
ἀθάνατοι εἶναι μέλλομεν, ἀλλ᾽ οὖν ἀνθρώπῳ εὐκταῖον κατασβέννυσθαι

FMaO *ἡμῶν* cett. (*ὑμῖν* **R**, *ἡμῖν* in mg. **C**) ‖ **15** *ἡμέρας* om. **O** ‖ **16** *χλίδου* **P** ‖ **18** *εἷς*] *εἰ* **U** ‖ **20** *ἐγκαταλειμπάνουσα* **CG** ‖ **21** *ὡς* om. **HMV** | *ἐκεῖνος* **R** Goez Hess ‖ **22** *γεννέως* **V** ‖ **24** *οἰόμενον* **Ma** | *ἀποχώρησις* **U** ‖ **25** *ἔφησθα* **QRU** Hess ‖ **26** *ἀναπαχθὲς* **B** ‖ **27** *που*] *τοῦ* **LLv** (in mg. add. *που* **L**) *τοῦ* (superscr. *π*) **P** ‖ **27–28** *τὰς ψ. τ. ἀ.* **Q** ‖ **29** *χαίρων* **O** ‖ **32** *ὥστε* **MMaV**

1 *ἀσπαζόμενον* **T** ‖ **4** *ἀποτρέψειε* **T** ‖ **5** *πάλειν* **T** ‖ **14** *ὑμῖν* **T** ‖ **15** *ψυχῶν* **α** ‖ **20** *ἐκκαταλείπουσα* **T** ‖ **21** *ἐγίγνωσκεν* **T** ‖ **24** *καὶ ἀποχώρησιν* **α** | *σκηπίων* **T** ‖ **32** *εὐκτέον* **T**

νυσθαι ἐν οἰκείῳ καιρῷ. ἔχει γὰρ μέτρον ἡ φύσις, ὥσπερ τῶν ἄλλων ἁπάντων, οὕτω τοι καὶ ζωῆς. γῆρας δὲ βίου ἐστὶ καθάπερ μύθου ἀπεργασία, οὗ δὴ τοὺς καμάτους φεύγειν χρεών, ἄλλως τε καὶ κόρου προσγενομένου. ταῦτα περὶ γήρως εἶχον εἰπεῖν· ἐς ὃ δὴ καὶ ὑμᾶς γένοιτο ἀφικέσθαι, ἵν', ἅπερ ἐμοῦ ἀκηκόατε, δυνηθείητε ἐπαινέσαι, πεῖραν εἰληφότες τοῦ 5
πράγματος.

3 *τε* om. **B** || 5 *ἵναπερ* **R** || 6 subscriptio *Τέλος τοῦ περὶ γήρως Κικέρωνος* **GO** *Τέλος τὸ περὶ γήρως τοῦ Κικέρωνος* **CU** *Τέλος περὶ γήρως τοῦ Κικέρωνος ἑρμηνείᾳ Θεοδώρου τοῦ Γαζῆ εἰς Ἑλληνισμὸν μετενεχθέντος (μετενεχθείς* **M**) **MV** *Τέλος τοῦ περὶ γήρως Κικέρωνος ὃ μετήνεγκε Θεόδωρος ὁ Γαζῆς εἰς τὴν Ἑλληνικήν* **Ma** *Τέλος* **R** Goez nullam subscriptionem exhibent cett., Edd.

ἐν καιρῷ οἰκείῳ. ἔχει γὰρ μέτρον ἡ φύσις, ὥσπερ τῶν ἄλλων ἁπάντων, οὕτω τοι καὶ ζωῆς. γῆρας δὲ βίου ἐστὶ καθάπερ μύθου ἀπεργασία, οὗ δὴ τοὺς καμάτους φεύγειν χρεών, ἄλλως τε καὶ κόρου προσγενομένου. ταῦτα περὶ γήρως εἶχον εἰπεῖν· εἰς ὃ δὴ καὶ ὑμᾶς γένοιτο ἀφικέσθαι, 5 ἵν', ἅπερ ἐμοῦ ἀκηκόατε, δοκιμάσαι δυνηθείητε, πεῖραν εἰληφότες τοῦ πράγματος.

6 subscriptio σὺν θεῷ τέλος. Ὤδολφος Πρόβος ὁ Φρήσιος ἔγραφε

COMMENTARIVS*

1 *Ὦ Τίτε – εἴη;*] *O Tite, si quid ego adiuro curamve levasso, / quae nunc te coquit et versat in pectore fixa, / ecquid erit praemi*? hos Ennii versus (= Ann. 335 Vahlen[2]) Gaza non ad verbum, sed circumscribendo et amplificando quinque versibus herois Graece expressit, neque satis commode eos interpretatus est. in universum de Gazae interpretatione – non semper accurata et saepe obscura – versuum Ennii et aliorum poetarum qui in dialogo *de senectute* occurrunt cf. quae scripsit Scaliger 89sqq., qui Gazae metaphrasim, nonnumquam metri vinculis solutam, castigavit, eique suam substituit. quod ad Gazae huius loci translationem attinet, Scaliger eam his verbis reprehendit: „Primum nimium sibi permittit, qui duos versiculos cum dimidiato quinque integris Graecis reddiderit, deinde secundus versus obscurissimus est, quem nemo sine Ennianis assequi potest [hunc autem versum exempli causa Italice sic vertere possumus: „. . . ed invero allieverò (*κούφην . . . θῶμαι = levasso*) del tutto il tormentoso affanno . . .“]. reliqua praetereo. nam plura erant animadvertenda.“ iisdem fere verbis Gazae translationem Kraft 58 et Hess ad l. reprehendunt. deinde Scaliger totum locum sic vertendum esse putavit: *Ὦ Τίτε, εἴ τι βοηθῶ ἐγώ, μελεδῶνα θ᾽ ὑφαιρῶ, / ἥ σ᾽ εὕει καὶ στήθει ἐνιχριμφθεῖσα δονεύει, / τοῦδε τί ἔσται ἄεθλον;* (et Scaligeri metaphrasis multo fidelior textui Ciceroniano quam Gazae translatio profecto esse videtur). mea quidem sententia et Gazae et Scaligeri translationes hic et in aliis versibus Ennii necnon Caecilii et Naevii, qui in hoc dialogo commemorantur, ad textum ipsius Ennii et duorum poetarum, quos iamiam memoravi, constituendum inutiles non sunt; tamen hae translationes, ut inter omnes constat, ab Edd. fere omnibus horum poetarum perperam neglectae sunt (de re vd. S[14] 15–17 necnon S[15] 485–490 et S[17]).

